ταραττόμεθα καὶ ἀδημονῶμεν. Ὅθεν χρεωστῶμεν κοντὰ εἰς τὰς ἐκουσίας καὶ θεληματικὰς πόνους καὶ κόπους τῆς μετανοίας μας νὰ ὑπομένωμεν καὶ τὰς ἀκουσίας καὶ χωρὶς τὸ θέλημά μας ἐρχομένας ἔξωθεν πόνους, καὶ θλίψεις, καὶ πειρασμούς. διὰ τί τὰ ἑκούσια ὡς πλέον εὐκολώτερα, εὐλογοῦνται ἀπὸ τὰ ἀκούσια ὡς πλέον δυσκολώτερα, καθὼς λέγει ὁ μέγας Γρηγόριος τῆς Θεσσαλονίκης: „Διὰ ὑπομονῆς ἑκουσίων τε καὶ ἀκουσίων πόνων, πᾶς σπουδαῖος τελειοῦται .... χωρὶς δὲ τῆς ὑπομονῆς τῶν ἀκουσίως ἡμῖν ἐπερχομένων, οὐδὲ τὰ ἑκουσίως πεπραγμένα τεύξεται τῆς θείας εὐλογίας. (ἐν τοῖς πρὸς τὴν ξένην)

Μὲ αὐτὰ ὁποῦ εἴπομεν ἂς σπουδάσωμεν νὰ ἀποκτήσωμεν ἀδελφοὶ τὸν πόνον τῆς καρδίας· διὰ τί χωρὶς αὐτὸν δὲν δυνάμεθα οὐδὲ τὴν ἀληθινὴν μετάνοιαν νὰ ἀποκτήσωμεν. καὶ τοῦτο ἀκολουθεῖ μὲ Φυσικὸν καὶ ὀρθὸν λογαριασμόν. ἐπειδὴ κάθε ἁμαρτία μὲ τὴν ἡδονὴν τῆς καρδίας ἔλαβε τὴν ἀρχὴν καὶ τὴν σύσασίν της εἰς τὴν ψυχήν μας, διὰ τοῦτο πάλιν μὲ τὴν ὀδύνην καὶ πόνον τῆς καρδίας πρέπει νὰ θανατωθῇ ἡ αὐτὴ ἁμαρτία. καὶ ἔτω νὰ γένῃ τὰ ἐναντία τοῖς ἐναντίοις ἰάματα κατὰ τοὺς Ἰατροὺς ὁμοῦ καὶ Ἠθικοὺς, ἢ Φυσικοὺς. καὶ Θεολόγους. καὶ μάρτυς ὁ Νύσσης Θεῖος Γρηγόριος λέγων. „Ἐπεὶ οὖν δι' ἡδονῆς εἰσῆλθον ἡ ἁμαρτία, διὰ τοῦ ἐναντίου πάντως ἐξελαθήσεται· ἐκεῖνοι οἱ διώκοντες διὰ τὴν εἰς τὸν Κύριον ὁμολογίαν, τὰ δυσβάσακτα τῶν κολασηρίων ἐπινοοῦντες, Ἰατρείαν τινὰ ταῖς ψυχαῖς, διὰ τῶν πόνων προσάγουσι, ταῖς τῶν ἀλγεινῶν προσβολαῖς, τὴν καθ' ἡδονὴν θεραπεύοντες νόσον.... ὡς ἂν μηδὲν ἴχνος τῇ καρδίᾳ διὰ τῆς ἡδονῆς ἐγγινόμενον, ὑπολειφθείη, τῆς ἀλγεινῆς ταύτης, καὶ δριμείας αἰσθήσεως, πάντας τοὺς καθ' ἡδονὴν ἐγγινομένους τῇ ψυχῇ τύπους ἐξαλειφούσης. (Τόμ. ά. λόγ. ή. εἰς τὸς μακαρισμ.)

Ἂς ἀφίνωμεν τὰς πολλὰς καὶ ἀκαίρους συνομιλίας καὶ ἀνταμώσεις τοῦ ἑνὸς ἢ τοῦ ἄλλου. διὰ τί αἱ τοιαῦται συνομιλίαι ἢ ἀνταμώσεις διώχνουν ἀπὸ λόγου μας τὴν μετάνοιαν, κατὰ τὸν ἅγιον Ἰσαὰκ „Μετάνοια μετὰ συντυχιῶν πῖθος τετριμμένος. (λόγ. νή. σελ. 348.) ἂς ἀγαπῶμεν δὲ τὴν ἡσυχίαν ἢ συχολὴν ἀπὸ τοὺς ἀνθρώπους, ὡς βο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς βοηθῆσαν πολλὰ εἰς τὴν ἀπόκτησιν τῆς μετανοίας, κατὰ τὸν αὐτὸν ἅγιον Ἰσαὰκ λέγοντα. „ἐὰν ἀγαπᾷς τὴν μετάνοιαν, ἀγάπησον „καὶ τὴν ἡσυχίαν. ἔξωθεν γὰρ τῆς ἡσυχίας, ἡ τελειοτέρα ἡ μετάνοι- „α. καὶ ἐάν τις ἀντιλέγῃ εἰς τοῦτο, μὴ Φιλονεικήσῃς μετ' αὐτοῦ. (λόγ. λδ'. σελ. 224) Εἰς τοῦτο συντείνει καὶ ἡ ἐντολὴ ἐκείνη ὁπου ἔδωκεν ὁ Θεὸς εἰς τὸν Κάϊν. ἀΦ' ἧ ἥμαρτον, εἰπὼν αὐτῷ „ἥμαρτες; ἡσύ- Γενέσ. „χασον· τουτέστιν „ἐπίγνωθι καθ' ἑαυτὸν τί πέπραχας, καὶ μετὰ τὴν δ'. 7. „ἐπίγνωσιν μετανόει ἐΦ' οἷς ἥμαρτες. ἔτως ἐν τῷ Ἐπιγράμματι τῷ περὶ σιωπῆς, καὶ ἡσυχίας τῷ ἐν τῇ βίβλῳ τοῦ ἁββᾶ Ἰσαὰκ ἑρμηνεύε- „ται· ἐν ᾧ καὶ τοῦτο ἀκόμη προσίθεται „ὅς τις ἠρεμήσαι οὐκ ἴσχυσεν, „οὐδὲ μετανοῆσαι δεδύνηται, οὐδὲ ἐπιγνῶναι τί ἐστι μετάνοια. Ἐὰν δὲ καὶ νὰ ἡσυχάσωμεν ὅσον δυνάμεθα, καὶ τὸ ἐλάχιστον, ὡς ἔχωμεν μίαν ἢ δύω ὥρας διωρισμένας ἀπαραιτήτως, καὶ χρεωστικῶς, μάλιστα κατὰ τὸ Ἑσπέρας· καὶ τότε ἀποσυρόμενοι εἰς ἕνα παράμερον καὶ ἥσυχον τόπον, καὶ συμμαζόνοντες τὰς αἰσθήσεις καὶ τὸν νοῦν εἰς τὴν καρδίαν μας, ὡς ἐνθυμούμεθα κατ' εἶδος ὅλας τὰς ἁμαρτίας μας, τόσον τὰς ἀπερασμένας ὁπου ἐπράξαμεν μὲ ἔργον, λόγον, καὶ συγκατάθεσιν λογισμῶν, ὅσον καὶ τὰς ἁμαρτίας ὁπου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐσφάλα- μεν, καὶ ὡς μετανοοῦμεν πικρῶς μετὰ λύπης καὶ πόνου καρδίας μας δι' αὐτὰς, καὶ ὡς ζητοῦμεν παρὰ Θεοῦ τὴν συγχώρησιν, δι' ὃ, τι ἔτζι μᾶς προσάζει νὰ κάμνωμεν τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ ΠροΦήτου Δαβὶδ λέγον· ἃ λέγεται ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κα- Ψαλμ. „τανύγητε. καὶ ἔτζι ὁ ἴδιος Χριστὸς εἶπε μυστικῶς ἐν τῷ πνεύματι δ'. 4. εἰς τὸν θεράποντά του ἅγιον Συμεὼν τὸν νέον Θεολόγον „σοχάσου νὰ „μὴν κάμῃς κἀνένα ἀπὸ ἐκεῖνα ὁπου σὲ ὑστεροῦν τὰ καλὰ αὐτὰ ὁπου ἠ- „ξιώθης νὰ ἀπολαύσῃς· εἰ δὲ καὶ σφάλῃς ποτὲ, διὰ ἐνθύμησιν ταπει- „νώσεως, Φρόντιζε νὰ μὴν Φύγῃς ἀπὸ τὴν μετάνοιαν· διατὶ ἡ μετά- „νοια μαζὶ μὲ τὴν ἐδικήν μου Φιλανθρωπίαν, ἀΦανίζει καὶ τὰ ἀπερα- „σμένα, καὶ τὰ παρόντα ἁμαρτήματα. Καὶ ὡς μὴν ἀΦίνωμεν νὰ περ- νᾷ κἀμμία ἡμέρα, χωρὶς νὰ κάμνωμεν τὴν σωτηριώδη μελέτην, καὶ πνευματικὴν ἐργασίαν ταύτην, ἀναβάλλοντές την εἰς ἄλλον καιρόν. λέγει γὰρ ὁ τῆς Κλίμακος Ἰωάννης „Μὴ ἀπατῶ ἄΦρον ἐργάτα χρό-

νῳ χρό-

. νῳ χρόνον ἀναπληρῶν, ὲ γὰρ ἐξαρκεῖ ἡ ἡμέρα ὲδὲ τὸ ἑαυτῆς χρέος
, πληρώσαι τῷ Δεσπότῃ ἀνελλιπῶς. (λόγ. ς'. περὶ θανάτ.) λέγει
δὲ ἡ ὁ μέγας Βασίλειος " σφάλματος μὴ περιφρόνει, κἂν μικρότε-
, ρον παντὸς χνωδάλ. ᾖ· ἀλλὰ σπεῦδε μᾶλλον πρὸς τὴν διὰ μετα-
, νοίας ἐπανόρθωσιν, ... μετάνοια, σωτηρία· ἄνοια δὲ μετανοίας,
, θάνατος (λόγ. Ἀσκητικὸς περὶ Ἀποταγῆς βίου.)

Τί νὰ πολυλογῶ; ὁ Θεὸς ἀγαπητοί μ. ἀδελφοὶ, δὲν ἔχει νὰ μᾶς
ἐγκαλέσῃ, ἢ νὰ μᾶς κατακρίνῃ ἐν τῇ ἡμέρᾳ τῶ θανάτ., ἢ τῆς Κρί-
σεως, διὰ τὶ δὲν ἐθεολογήσαμεν, ἢ δὲν ἐκάμαμεν θαύματα, ἢ διὰ τὶ
δὲν ἐσάθημεν θεωρητικοί. ὄχι. ἀλλὰ διὰ τὶ δὲν ἐμετανοήσαμεν, ἢ
δὲν ἐλυπήθημεν διὰ τὰς ἁμαρτίας μας. ἔτζι τὸ ἀποφασίζει ὁ εἰρη-
μένος Ἰωάννης " ἐκ ἐγκληθησόμεθα, ὦ ἕτοι, ἐκ ἐγκληθησόμεθα ἐν
, ἐξόδῳ ψυχῆς, διὰ ὅ, τι ἐ τεθαυματεργήκαμεν, ἐδ' ὅτι ἐ τεθεολο-
, γήκαμεν, ἐδ' ὅτι θεωρητικοὶ ἐ γεγόναμεν· ἀλλὰ λόγον πάντως δώ-
, σομεν τῷ Θεῷ, διὰ ὅ, τι ἀδιαλείπτως ἐ πεπενθήκαμεν. (λόγ. ζ'.)
Διὰ τοῦτο ἡμεῖς οἱ ἁμαρτωλοὶ χρεωσθμεν καθ' ἑκάστην ἡμέραν, ἵνα
μὴ λέγω ἢ ὥραν, νὰ ἐξετάζωμεν τὸν ἑαυτόν μας, ἐὰν εὑρισκώμεθα
εἰς τὴν ἀληθινὴν μετάνοιαν· ἢ ἐὰν, θετέον, τύχῃ νὰ κάμωμεν ἢ
ἄλλας ἀρετὰς, ἢ ἀγαθοεργίας, μὲ τὴν βοήθειαν τοῦ Ἰησοῦ Χριστοῦ, εἰς
ἐκείνην τὴν ἡμέραν, ὅμως ἢ τὴν ἀρετὴν τῆς μετανοίας πάντοτε πρέ-
πει νὰ ἐνθυμώμεθα, ἢ ποτὲ ποτὲ νὰ μὴν τὴν ἀλησμονήσωμεν. ἢ κά-
θε ἡμέραν, εἰς τὴν ὁποίαν δὲν μετανοήσωμεν, ἢ δὲν λυπηθῶμεν διὰ
τὰς ἁμαρτίας μας, πρέπει νὰ λέγωμεν, πῶς ἐχάσαμεν τὴν ἡμέραν
ἐκείνην, κἂν ἢ ἄλλα καλὰ τυχὸν εἰς αὐτὴν ἐποιήσαμεν. Διὰ τοῦτο
εἶπεν ὁ προρρηθεὶς Ἰωάννης „ ὁ ἐν ἀληθείᾳ διδοὺς εὐθύνας, πᾶσαν ἡ-
, μέραν, ἐν ᾗ ἐ πανθεῖ, ὡς ἀπολέσας ταύτην λογίζεται, κἂν τινα ἕ-
, τερα ἀγαθὰ πεποίηκεν ἴσως ἐν αὐτῇ. (λόγ. ἑ. περὶ μεταν'.)

Κάμνω τέλος, ἢ λέγω μὲ τὸν ἅγιον Συμεὼν τὸν νέον Θεολόγον,
ὅτι εἶναι ἀνάγκη ὅλοι ἡμεῖς οἱ Χριστιανοὶ νὰ ἰατρευθῶμεν ἀπὸ τὰ
πάθη ἢ τὰς πληγὰς τῆς ἁμαρτίας, ἢ ἔπειτα νὰ φυλάξωμεν ὅλας
τὰς ἐντολὰς τοῦ Κυρίου, ἢ νὰ ἐργασθῶμεν κάθε ἀρετήν. Εἰ δὲ ἢ δὲν
προφθάσωμεν νὰ κάμωμεν ἄλλας ἐντολὰς τοῦ Κυρίου, ἢ ἄλλας ἀρε
τὰς, τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς, τὸ ἐλάχιστον εἶναι ἀνάγκη κἂν νὰ εὑρεθῶμεν ὑγιεῖς, ἢ ὁλόκληροι ἀπὸ τὰς πληγὰς, ἢ ἀσθενείας τῆς ἁμαρτίας, διὰ μέσου τῆς ἐντολῆς ἢ τῆς ἀρετῆς τῆς μετανοίας. Διὰτὶ ἂν μὲν ἀποθάνωμεν ὑγιεῖς, ἢ ἰατρευμένοι ἀπὸ τὰ πάθη, ἢ ἁμαρτίας διὰ τῆς μετανοίας, ἀπερχόμεθα εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. ἂν δὲ ἀποθάνωμεν ἀνιάτρευτοι, ἀσθενεῖς, ἢ μισεροὶ μὴ μετανοήσαντες, ἀπερχόμεθα εἰς τὸν ᾅδην. Ἐπειδὴ ἢ ἡ Βασιλεία τῶν Οὐρανῶν δὲν εἶναι διὰ τὺς ἀῤῥώστους μὴ μετανοήσαντας ἁμαρτωλὲς· ἀλλ' εἶναι κατοικία ἢ παλάτι, διὰ νὰ δέχεται τὺς διορθωθέντας διὰ τῆς μετανοίας, τὺς ἀξίους δηλαδὴ ἢ δικαίους εὐσεβεῖς. Διὰ τῦτο ἁμαρτωλοὶ σύντροφοι ἐδικοί μ ἂς Φωνάζωμεν πάντοτε πρὸς τὸν Θεὸν μὲ τὰς κοινὰς ἐκείνας δεήσεις ὅλης τῆς Ἐκκλησίας μας „ Ἅγιε ἐπίσκεψαι, ἢ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τῦ ὀνόματός σ. Καὶ „ ἡμᾶς ὁν μετανοίᾳ, ἢ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς ἢ Φιλάνθρωπος Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΠΙΤΟΜΗ

Ἐκ τῶν Προφητανακτοδαβιτικῶν ψαλμῶν.
Παρεκτὸς τῶν τῆς ἡμερονυκτίου ἀκολουθίας Ἑσπερινοῦ Φημί, Ἀποδείπνου, Μεσονυκτικοῦ, Ἐξαψάλμου, καὶ πασῶν τῶν Ὡρῶν.

Τῶν εὐχῶν μόνον ἐκλεγεισῶν παρὰ τοῦ Παναγιωτάτου καὶ Σοφολογιωτάτου Κυρίου Γενναδίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Σχολαρίου.

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΑΥΤΟΥ.

ΕΝ ταῖς Ἐκκλησίαις τὸ ἔθος τὸ περὶ ταῦτα κρατείτω, καὶ τὸ ψαλτήριον αὐτολεξεὶ ἀναγινωσκέσθω. ὅτι Προφητείαν περιέχει περὶ τῆς θείας Οἰκονομίας, καὶ ἔπαινον τῆς ἀρετῆς, καὶ τῆς πονηρίας ποικίλην καθαίρεσιν, καὶ παιδαγωγίας διαφόρους ὁδούς· δι' ὧν πάντοτε εἰκὸς ἐστὶ πολλοὺς τοὺς ἐν ταῖς Ἐκκλησίαις ὠφελεῖσθαι, εἴς τε Πίστεως βεβαιότητα, καὶ βίου ἀσφάλειαν, καὶ παράκλησιν ἐν θλίψεσι, καὶ μάλιστα ἂν ὦσι τῷ βίῳ προσηλωμένοι.

Τὴν δὲ Ἐπιτομὴν ταύτην ἐποιησάμεθα ἡμῖν, ὡς ἐν τοῖς κελλίοις ἡμῶν, καὶ ἐν ταῖς ἰδίαις πρὸς Θεὸν παραστάσεσιν, ἀναγινώσκομεν ποτε, ὅταν, ἢ ἀσθένεια σώματος, ἢ γνώμης κατακρατῇ ἡμῶν. Ἐξέστω δὲ καὶ ἄλλῳ παντὶ, κοινωνοῦντι γνώμης ἡμῖν, ἐν ταῖς Κελλιακαῖς ὑμνολογίαις, τὰς εὐχὰς ταύτας εὔχεσθαι ἐν τοῖς Ὄρθροις, ἰδιαζῇ μοναχῷ προσηκόσας· ὡς παντὶ ἔστι δῆλον τῷ δυναμένῳ συνορᾶν, ὅπως ταῦτα πρέπει ἡσυχάζουσι καὶ μάλα. Εἰδέ τις γνώμης ἡμῖν μὴ κοινωνῇ, μηδὲ μεμφέσθω. ἀλλὰ τὸ ψαλτήριον, ὡς ἔθος, καθ' ἑκάστην ἡμέραν ἀναγινωσκέτω.

ΗΑΡ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η Α Ρ Χ Η

Δόξα σοι Κύριε, Δημιουργὲ ἡμῶν καὶ Θεέ. Δόξα σοι Βασιλεῦ δίκαιε, καὶ Πάτερ εὐσπλαγχνικώτατε, καὶ ἐπιεικέσατε. Δόξα σοι Προμηθεῦ ἡμῶν προνοητὰ, καὶ λυτρωτά. Εὐχαριςῶ σοι ὅτι ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκυσάς μου ὁ Θεός μου. ἐν θλίψει ἐπλάτυνάς με. ἐσημειώθη ἐπ' ἐμὲ τὸ φῶς τῦ προσώπυ σου, καὶ ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Καὶ νῦν ὅτως οἰκτείρησόν με, καὶ εἰσάκυσον τῆς προσευχῆς μου. Ὅτι ἐπὶ σοὶ Κύριε ἤλπισα ὁ Θεός μου. σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρυμένυ, μηδὲ σώζοντος.

Κύριε ὁ Θεὸς ἡμῶν· ὡς θαυμαςὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ! Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν ὐρανῶν. Ὄψομαι τὺς ὐρανὺς ἔργα τῶν δακτύλων σου. καὶ θαυμάσομαι. σελήνην καὶ ἀςέρας, ἃ σὺ ἐθεμελίωσας. γῆν, καὶ τὰ ἐν αὐτῇ πάντα. Τί ἐςιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτῦ, ἢ υἱὸς ἀνθρώπυ, ὅτι ἔτως ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλυς. δόξῃ καὶ τιμῇ ἐςεφάνωσας αὐτὸν, καὶ κατέςησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτῦ, τὰ ἐν τοῖς ὄρεσι, τὰ ἐν τοῖς πεδίοις τῆς γῆς, τὰ ἐν θαλάσσῃ, τὰ ἐν ἀέρι. Διὰ τῦτο ἐξομολογήσομαί σοι ἐν ὅλῃ καρδίᾳ μου Κύριε. διηγήσομαι, ὡς ἐφικτὸν, πάντα τὰ θαυμάσιά σου. καὶ ἀγαλλιάσομαι ἐν σοὶ, καὶ ψαλῶ τῳ ὀνόματί σου ὕψιςε.

Κύριε ὁ Θεὸς ἡμῶν. ἐπὶ σοὶ ἤλπισαν οἱ γινώσκοντες τὸ ὄνομά σου ἀπ' ἀρχῆς αἰῶνος. καὶ ὐκ ἐγκατέλιπες τὺς ἐκζητῦντάς σε Κύριε, ὐδὲ ἐπελάθυ τῆς κραυγῆς τῶν πενήτων. ἀλλ' ἐγένυ καταφυγὴ αὐτοῖς, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψεσι. καὶ μὲ συντηρῶν, καὶ κυβερνῶν ὐ διέλιπες. ἐλέησόν με καὶ νῦν Κύριε. ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν

ἐχθρῶν μϐ. ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τϐ θανάτϐ. Ἀνάςηθι, Κύριε ὁ Θεός μϐ, ὑψωθήτω ἡ χείρ σϐ, μὴ ἐπιλάθῃ τῶν πενήτων σϐ εἰς τέλος. σοὶ γὰρ ἐγκαταλέλειπται ὁ πτωχός. ὀρφανῷ σὺ ἦσθα βοηθός. σύντριψον τὸν βραχίονα τϐ ἁμαρτωλοῦ, καὶ πονηροῦ· καὶ αὐτοῦ ἐκλιπέτωσαν αἱ ἑομφαῖαι εἰς τέλος. ἵνα, αὐτὸς μὲν, τῇ ἀδυναμίᾳ αὐτοῦ παιδαγωγηθῇ. ὁ δὲ δοῦλός σϐ, τὴν σὴν ἐκθειάζῃ κηδεμονίαν.

Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀληθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· τοῖς μὲν χείλεσι, δόλια, ταῖς δὲ καρδίαις, ἐλάλησαν κακά. διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν, ἐξέκλιναν, ἠχρειώθησαν. ἐσθίουσι τὸν λαόν σϐ ὡς βρῶσιν ἄρτου. βουλὴν πτωχοῦ καταισχύνουσι. Σὺ κύριε φύλαξαις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ διατηρήσαις εἰς τὸν αἰῶνα. αὐτὸς δὲ ἐπιστρέψαις εἰς τὴν τῆς ἀληθείας ὁδὸν· ἵνα μὴ ἀπόλωνται ἐν τῇ ὁδῷ τῆς διαστροφῆς αὐτῶν.

Ἕως πότε Κύριε ἐπιλήσῃ με εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σϐ ἀπ' ἐμοῦ; ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μϐ; ὀδύνας ἐν καρδίᾳ μϐ ἡμέρας καὶ νυκτός; ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μϐ ἐπ' ἐμέ; ἐπίβλεψον, εἰσάκουσόν μϐ Κύριε ὁ Θεός μϐ. φώτισον τοὺς ὀφθαλμούς μϐ, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μϐ. ἴσχυσα πρὸς αὐτόν, οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ. ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σϐ ἤλπισα, ἀγαλλιάσεται ἡ καρδία μϐ ἐπὶ τῷ σωτηρίῳ σϐ. ᾄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με. καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου.

Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. εἶπα τῷ Κυρίῳ· Κύριός μϐ εἶ σύ, ὅτι τῶν ἀγαθῶν μϐ οὐ χρείαν ἔχεις. εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με. Προωρώμην τὸν Κύριον ἐνώπιόν μϐ διαπαντὸς, ὅτι ἐκ δεξιῶν μϐ ἐστιν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο εὐφράνθη Κύριε ἡ καρδία μϐ καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μϐ, ἔτι δὲ καὶ ἡ σάρξ μϐ κατασκηνώσει ἐπ' ἐλπίδι. ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μϐ εἰς ᾅδην. ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σϐ. τερπνότης ἐν τῇ δεξιᾷ σϐ εἰς τέλος.

Δόξ. Καὶ νῦν. Ἀλληλ. Στάσις πρώτη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου. Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου. αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. ὠδῖνες ᾅδου περιεκύκλωσάν με. προέφθασάν με παγίδες θανάτου, καὶ ἐν τῷ θλίβεσθαι με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου. καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ, εἰσῆλθεν εἰς τὰ ὦτα αὐτοῦ. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ. Ἐξαπέστειλε βέλη, καὶ ἐσκόρπισε τοὺς πολεμίους μου. ἀστραπὰς ἐπλήθυνε, καὶ συνετάραξεν αὐτούς. ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με. προσελάβετό με ἐξ ὑδάτων πολλῶν, ἐῤῥύσατό με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου, καὶ ἐγένετό μοι Κύριος ἀντιλήμπτωρ μου, καὶ ἐξήγαγέ με εἰς πλατυσμόν.

Κύριε σὺ φωτίεις τὸν λύχνον μου, σὺ ὁ Θεός μου φωτίεις τὸ σκότος μου, ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος. ὁ Θεός μου, ἄμωμος ἡ ὁδός σου, τὰ λόγιά σου πεπυρωμένα. Ὑπερασπιστὴς ἐστὶ πάντων τῶν ἐλπιζόντων ἐπὶ σέ. Σὺ εἶ ὁ περιζωννύων με δύναμιν, ὁ κατευοδῶν με ἐν τῇ ὁδῷ μου. ὁ καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλά μου ἱστῶν με. Σὺ μοι ἔδωκας ὑπερασπισμὸν σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου, καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει. Ζῇ Κύριος ὁ Θεός, ὁ δίδους ἐκδικήσεις ἐμοί. εὐλογητὸς ὁ Θεὸς τῆς σωτηρίας μου. ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων. Σὺ Κύριε ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ, καὶ τῇ σωτηρίᾳ μου πολεμίων πονηρῶν πνευμάτων, ὑψώσεις με. ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φείσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. Κύριε βοηθέ μου καὶ λυτρωτά μου.

Ἐπὶ σοὶ Κύριε ἤλπισαν οἱ Πατέρες ἡμῶν, καὶ ὑ κατησχύνθησαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν. ἐπὶ σοὶ ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος. ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. ἀλλ' ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας. ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ. Μὴ δὴν ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, καὶ οὐκ ἔστιν ὁ βοηθῶν μοι. Περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με. Σὺ δὲ Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ. εἰς τὴν ἀντίληψίν μου πρόσχες. ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου. σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. Σὺ Κύριε βοηθός μου, καὶ ὑπερασπιστής μου. ἐπὶ σοὶ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην. καὶ ἀνεθαλεν ἡ σάρξ μου. καὶ ἐκ θελήματός μου ἐξομολογήσομαί σοι.

Ψώσω σε Κύριε. ὅτι ὑπέλαβές με. καὶ οὐκ εὐφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ. Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σὲ, καὶ ἰάσω με. Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου. ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. Κύριε, ἐν τῷ θελήματί σου παρέσχες τῷ κάλλει μου δύναμιν. ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος. Πρὸς σὲ Κύριε κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; μὴ ἐξομολογήσεταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Ἤκουσας Κύριε, καὶ ἠλέησάς με. Κύριε ἐγενήθης βοηθός μου. ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί. διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.

Ἐπὶ σοὶ Κύριε ἤλπισα μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐν τῷ ἐλέει σου ἐξελοῦ με. κλῖνον πρός με τὸ οὖς σου. τάχυνον τοῦ ἐξελέσθαι με. γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. ὅτι στερέωμά μου, καὶ καταφυγή μου εἶ σύ. Καὶ ἕνεκεν τοῦ ὀνόματός μου ὁδηγήσεις με, καὶ διαθρέψεις με. ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι· ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε, εἰς χεῖράς σου παραθήσομαι τὸ Πνεῦμά μου. Ἐλυτρώσω με Κύριε ὁ Θεὸς τῆς ἀληθείας. Ἐπειδὲς ἐπὶ τὴν ταπείνωσίν μου ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν. ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Διὰ

τοῦτο

τοῦτο ἀγαλλιάσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σε, καὶ ψαλῶ τῷ ὀνόματί σε ὕψιστε.

Ἐλέησόν με Κύριε, ὅτι θλίβομαι. ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου, καὶ ἡ καρδία μου· ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς, ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Τοῖς ἐχθροῖς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου φόβος, καὶ λύπη τοῖς γνωστοῖς μου. Οἱ θεωροῦντές με, ἔξω ἔφυγον ἀπ' ἐμοῦ. ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός. ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο· ἐγὼ δὲ ἐπὶ σοὶ Κύριε ἤλπισα. Εἶπα· σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου· σῶσόν με ἐν τῷ ἐλέει σου. Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε! ἐξεργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων! κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου. ἀπὸ ταραχῆς ἀνθρώπων σκεπάσεις αὐτοὺς. ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. Εὐλογητὸς Κύριος, ὁ ποιῶν θαυμάσια μόνος.

Δόξ. Καὶ νῦν. Ἀλληλ. Στάσις Β'.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. ἐξομολογεῖσθε καὶ αἴσατε αὐτῷ ᾆσμα καινὸν, ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος. Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ. τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης. τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ. ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Κύριος διασκεδάζει βουλὰς ἐθνῶν. ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων· ἡ δὲ βουλὴ τοῦ Κυρίου, εἰς τὸν αἰῶνα μένει. λογισμοὶ τῆς καρδίας αὐτοῦ, εἰς γενεὰν καὶ γενεάν. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτὸν, τοὺς ἐλπίζοντας

ἐπὶ τὸ

ἐπὶ τὸ ἔλεος αὐτῦ· ῥύσασθαι ἐκ θανάτυ τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ, ὅτι βοηθὸς, καὶ ὑπερασπιστὴς ἡμῶν ἐστι· καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτῦ ἠλπίσαμεν. Γένοιτο Κύριε τὸ ἔλεός συ ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ, ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ ὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν· ὐ δέ ἐστιν ἐν τῷ στόματι αὐτῦ δόλος. Ἐγὼ δὲ τὴν ἀνομίαν μυ ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μυ ὐκ ἐκάλυψα. Εἶπα· ἐξαγορεύσω κατ' ἐμῦ τὴν ἀνομίαν μυ τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μυ. Σύ μυ εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχύσης με· ὅτι πολλοὶ οἱ πολεμῦντές με, καὶ οἱ καταδιώκοντές με, καὶ οἱ ἐκθλίβοντες τὴν ψυχήν μυ. Σὺ δὲ Κύριε, ἐπιλαβῦ ὅπλυ καὶ θυρεῦ, καὶ ἀνάσηθι εἰς τὴν βοήθειάν μυ. Εἰπὲ τῇ ψυχῇ μυ. Σωτηρία συ εἰμὶ ἐγώ. αἰσχυνθήτωσαν, καὶ ὐντραπήτωσαν οἱ ζητῦντες τὴν ψυχήν μυ, καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι· μηδὲ εἴποιεν· κατεπίομεν αὐτόν. αἰσχυνθείησαν, καὶ ὐντραπείησαν οἱ ἐπιχαίροντες τοῖς κακοῖς μυ. ἐνδυσάσθωσαν αἰσχύνην, καὶ ὐντροπὴν οἱ μεγαλορρημονῦντες ἐπ' ἐμέ. Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθήτωσαν οἱ θέλοντες τὴν εἰρήνην τυ δύλυ συ. Ἐμῦ δὲ ἡ γλῶσσα μελετήσει τὴν δικαιοσύνην συ, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν συ.

Φησὶν ὁ παράνομος τῦ ἁμαρτάνειν ἐν ἑαυτῷ. ὐκ ἔστι φόβος Θεῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῦ. Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός συ, καὶ ἡ ἀλήθειά συ ἕως τῶν νεφελῶν. ἡ δικαιοσύνη συ, ὡς ὄρη Θεῦ. τὰ κρίματά συ, ἄβυσσος πολλή. ἀνθρώπυς, καὶ κτήνη σώσεις Κύριε. ὡς ἐπληθύνας τὸ ἔλεός συ ὁ Θεός! ἡμεῖς δὲ, εἰ καὶ ἁμαρτωλοί ἐσμὲν, ἀλλ' ἐν τῇ σκέπῃ τῶν πτερύγων συ ἐλπιῦμεν. ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. καὶ ἐν τῷ Φωτί συ ὀψόμεθα Φῶς. Διὰ τῦτο, παράτεινον τὸ ἔλεός συ τοῖς γινώσκυσί σε, καὶ τὴν δικαιοσύνην συ, τοῖς ἐπὶ σὲ καταφεύγυσι. Μὴ ἐλθέτω μοι πῦς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῦ μὴ σαλεύσαι με.

Κύριε σὺ εἶ ἡ ὑπομονή μυ, καὶ ἡ ὑπόσασίς μυ παρὰ σῦ ἐστιν. ἀπὸ

πασῶν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

πασῶν τῶν ἀνομιῶν μȣ ῥῦσαί με . ὀνειδος ἀΦρονι ἔδωκάς με . ἐκωΦώθην , ἡ ȣκ ἤνοιξα τὸ ϛόμα μȣ ὅτι σὺ ἐποίησας , ἡ ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσάς με . Ἀλλ᾽ ἀπόϛησον ἀπ᾽ ἐμοῦ τὰς μάϛιγάς σȣ . ἀπὸ γὰρ τῆς ἰσχύος τῆς παιδείας σȣ , ἐγὼ ἐξέλιπον . Πολλὰ προσέπταισα τοῖς νόμοις σȣ Κύριε · Ἀλλὰ νῦν εἶπα · Φυλάξω τὰς ὁδός μȣ , τȣ μὴ ἁμαρτάνειν με ἐν καρδίᾳ μȣ , ἡ ἐν γλώσσῃ μȣ , τῇ σῇ ἀντιλήψει χειραγωγέμενος . Διὰ τȣτο , εἰσάκȣσον τῆς Προσευχῆς μȣ Κύριε , ἡ τῆς δεήσεώς μȣ ἐνώτισαι . τῶν δακρύων μȣ μὴ παρασιωπήσῃς · ὅτι πάροικος ἐγώ εἰμι , ἡ παρεπίδημος , καθὼς πάντες οἱ Πατέρες μȣ . Ἄνες μοι , ἵνα ἀναψύξω πρὸ τȣ με ἀπελθεῖν , ἡ ȣκ ἔτι ὁ μὴ ὑπάρξω .

Ὑπομένων ὑπέμεινα τὸν Κύριον , ἡ προσέσχε μοι . ἡ εἰσήκȣσε τῆς δεήσεώς μȣ . ἡ ἀνήγαγέ με ἐκ λάκκȣ ταλαιπωρίας , ἡ ἀπὸ πηλȣ ἰλύος . ἡ ἔϛησεν ἐπὶ πέτραν τὰς πόδας μȣ , ἡ κατεύθυνε τὰ διαβήματά μȣ . ἡ ἐνέβαλεν εἰς τὸ ϛόμα μȣ ᾆσμα καινόν . ὕμνον τῷ Θεῷ ἡμῶν . Μακάριος ἀνὴρ , ȣ̃ ἐϛι τὸ ὄνομα Κυρίȣ ἐλπὶς αὐτȣ̃ , ἡ ȣκ ἐπέβλεψεν εἰς ματαιότητας , ἡ μανίας ψευδεῖς . Πολλὰ ἐποίησάς μοι Κύριε , τὰ Θαυμάσιά σȣ . ἡ τοῖς διαλογισμοῖς σȣ ȣκ ἔϛι τὶς ὁμοιωθήσεταί σοι . Καὶ νῦν Κύριε , μὴ μακρύνῃς τὰς οἰκτιρμούς σȣ ἀπ᾽ ἐμοῦ . Τὸ ἔλεός σȣ , ἡ ἡ ἀλήθειά σȣ διαπαντὸς ἀντιλάβοιτό μȣ . ὅτι περιέσχον με κακὰ , ὧν ȣκ ἔϛιν ἀριθμός . κατέλαβόν με αἱ ἀνομίαι μȣ , ἡ ȣκ ἠδυνήθην τȣ̃ βλέπειν . ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεΦαλῆς μȣ , ἡ ἡ καρδία μȣ ἐγκατέλιπέ με . εὐδόκησον Κύριε τȣ̃ ῥύσασθαί με . Κύριε , εἰς τὸ βοηθῆσαί μοι πρόσχες . Καταισχυνθείησαν , ἡ ἐντραπείησαν οἱ ζητȣ̃ντες τὴν ψυχήν μȣ τȣ̃ ἐξᾶραι αὐτήν . ἈποϛραΦήτωσαν εἰς τὰ ὀπίσω , ἡ καταισχυνθήτωσαν οἱ θέλοντές μοι κακά . Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι . εὖγε ! εὖγε ! ἀγαλλιάσθωσαν , ἡ εὐΦρανθήτωσαν ἐπὶ σοὶ , πάντες οἱ ζητȣ̃ντές σε Κύριε . ἡ εἰπάτωσαν διαπαντός · μεγαλυνθήτω ὁ Κύριος · οἱ ἀγαπῶντες τὸ σωτήριόν σȣ , Ἐγὼ δὲ πτωχός εἰμι ἡ πένης . Κύριος Φροντιεῖ μȣ . Βοηθός μȣ , ἡ ὑπερασπιϛής μȣ εἶ σύ · ὁ Θεός μȣ , μὴ χρονίσῃς .

Κρῖνόν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κρινόν με Κύριε ὁ Θεός μου, μὴ κατὰ τὰ ἔργα μου, ἀλλὰ κατὰ τὴν σὴν εὐσπλαγχνίαν. Ἐξ ἐθνους ὐχ ὁσίου ἐξάγαγέ με. ἀπὸ ἀνδρὸς ἀδίκου, καὶ δολίου ἐξελοῦ με, καὶ ἀπὸ συμφορᾶς πονηρευομένων ῥῦσαί με. ὅτι σὺ εἶ ὁ Θεός μου, κραταίωμά μου, καὶ τειχος ἐλπίδος μου. Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου. αὐτά με ὁδηγησάτω εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. Ὃν γὰρ τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων· ὅτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα. Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεὸν, τὸν πάντα δυνάμενον· ὅτι ἐξομολογήσομαι αὐτῷ. σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Δόξ. Καὶ νῦν. Ἀλλήλ. Στάσις Γ'.

Ὁ Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ Πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργα, ἃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν ἐν ἡμέραις ἀρχαίαις. Νυνὶ δὲ ἀπώσω, καὶ κατήσχυνας ἡμᾶς. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν, καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν, ὀνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν, καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἀλλ' ἡμεῖς ἐκ ἐπελαθόμεθα τοῦ ὀνόματός σου τοῦ ἁγίου, καὶ ἐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, οὐδὲ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον. Ἐξεγέρθητι Κύριε, ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος. μὴ ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως. ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ἀνάστηθι Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ, καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι, ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Κύριος τῶν Δυνάμεων μεθ' ἡμῶν. ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Κύριος, ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ ἐπὶ πάντα τὰ ὄντα. Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα. Κατὰ τὸ

ὄνομά

ὄνομά σε ὁ Θεὸς, ὅτω ἡ αἴνεσίς σε ἐπὶ τὰ πέρατα τῆς γῆς. Δικαιοσύνης πλήρης ἡ δεξιά σε, ἡ οἰκτιρμῶν ἡ δικαιοσύνη σε. Σὺ λυτρώσῃ τὴν ψυχήν με ἐκ χειρὸς ᾅδε. αὐτὸς ποιμανεῖς με εἰς τοὺς αἰῶνας. Ἐξομολογήσομαί σοι διαπαντὸς περὶ ὧν μοι ἐποίησας, ἡ ποιεῖς μοι. ὑπομενῶ τὸ ὄνομά σε. ὅτι χρηστὸν ἐναντίον τῶν πιστευόντων, ἡ καθοσιωμένων σοι.

ΕΛέησόν με ὁ Θεός. ὅτι οἱ ἐχθροὶ τῆς σωτηρίας μου, ὅλην τὴν ἡμέραν πολεμοῦντες ἔθλιψάν με, κατεπάτησάν με ὅλην τὴν ἡμέραν. Πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σὲ, ἡ ὁ Φοβηθήσομαί τί ποιήσει μοι πνεῦμα πονηρόν. Ὁ Θεός, τὴν ζωήν μου ἐξήγγειλά σοι τῷ πάντα εἰδότι. Ἐξηγόρευσά σοι τὰς ἁμαρτίας μου. ἡ τὰς θλίψεις τῆς καρδίας μου ἀνεκάλυψα. Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς ἡ ἐν τῇ ἐπαγγελίᾳ σου. ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε. Ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ. ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα. Ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον. ἐπὶ τῷ Θεῷ μου ἤλπισα. ὁ Φοβηθήσομαί τί ποιήσει μοι ἄνθρωπος. Ἐν ἐμοὶ, ὁ Θεὸς, εὐχάς, ἃς ἀποδώσω αἰνέσεώς σου. ὅτι ἐῤῥύσω τὴν ψυχήν μου ἐκ θανάτου. τοὺς ὀφθαλμούς μου, ἀπὸ δακρύων ἡ τοὺς πόδας μου, ἀπὸ ὀλισθήματος.

ΕΛέησόν με ὁ Θεὸς, ἐλέησόν με. ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου. ἡ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν εὐεργετήσαντά με. ἐξαπέστειλεν ἐξ οὐρανοῦ ἡ ἔσωσέ με. ἔδωκεν ὄνειδος τοὺς καταπατοῦντάς με. ἐκοιμήθην τεταραγμένος, ὅτι παγίδα ἡτοίμασαν τοῖς ποσί μου ἡ κατέκαμψαν τὴν ψυχήν μου. ὤρυξαν πρὸ προσώπου μου βόθρον ἡ αὐτοὶ μὲν ἐνέπεσον εἰς αὐτὸν, ἐμοὶ δὲ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ. ἡ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων. Καὶ νῦν Κύριε ἔξελοῦ με ἐκ τῶν ἐχθρῶν μου. ἡ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ῥῦσαί με ὁ Θεός. ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου. ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. ἀλλ' ἐγὼ ἄσομαι τῇ δυνάμει σου, ἡ ἀγαλλιάσομαι τὸ πρωὶ τὸ ἔλεός σου. ὅτι ἐγενήθης ἀντιλήπτωρ μου ἡ καταφυγή μου. ἐν ἡμέρᾳ θλίψεώς μου, βοηθός μου. ἡ τὸ ἔλεός σου προέφθασέ με.

Ὁ Θεὸς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Θεὸς, ἀπώσω ἡμᾶς. καὶ καθεῖλες ἡμᾶς. ὠργίσθης, καὶ ὠκτείρησας ἡμᾶς. ἐτότισας ἡμᾶς οἶνον κατανύξεως. ἔδωκας τοῖς Φοβουμένοις σε σημείωσιν, τῦ Φυγεῖν ἀπὸ προσώπυ τόξυ, ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σε. Καὶ νῦν δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ ματαία σωτηρία ἀνθρώπυ. Ἐν σοὶ τῷ Θεῷ ποιήσομεν δύναμιν· καὶ αὐτὸς ἐξυδενώσεις τὺς θλίβοντας ἡμᾶς. Ἐν τῷ ἁπλῶσαί τὴν καρδίαν μυ πρὸς σὲ ἐκέκραξα, καὶ πέτρα ὕψωσάς με. ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μυ, πύργος ἰσχύος ἀπὸ προσώπυ ἐχθρῦ. παροικήσω ἐν τῷ σκηνώματί συ εἰς τὺς αἰῶνας. καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων συ σκεπασθήσομαι.

Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μυ, παρ' αὐτῷ γὰρ τὸ σωτήριόν μυ. παρ' αὐτῷ ἡ ὑπομονή μυ. αὐτὸς Θεός μυ, καὶ Σωτήρ μυ. αὐτὸς ἀντιλήπτωρ μυ· ἐπ' αὐτῷ τὸ σωτήριόν μυ, καὶ ἡ δόξα μυ, καὶ ἡ ἐλπίς μυ ἐπ' αὐτῷ μόνῳ. Σῦ Κύριε τὸ κράτος, καὶ σῦ τὸ ἔλεος, καὶ σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὴν αὐτῦ πίστιν, καὶ κατὰ τὴν σὴν εὐσπλαγχνίαν. Εἰσάκυσον δὴ ὁ Θεὸς φωνῆς μυ. ἐν τῷ δέεσθαί με πρὸς σέ. ἀπὸ φόβυ ἐχθρῶν ἐξελῦ τὴν ψυχήν μυ. σκέπασόν με ἀπὸ συσροφῆς πονηρευομένων, ἀπὸ πλήθυς ἐργαζομένων ἀδικίαν. ὅτι ἐδεὶς πεποιθὼς ἐπὶ σοὶ, ἐφοβήθη. ἀλλ' αὐτῶν μὲν αἱ πληγαὶ, βέλος νηπίων ἐγενήθησαν· οἱ δὲ θεορῦντες, ἐφοβήθησαν τῦ Θεῦ τὴν μεγαλειότητα, καὶ ἀνήγγειλαν τὰ ἔργα αὐτῦ, καὶ τὰ ποιήματα αὐτῦ συνῆκαν.

Δόξ. Καὶ νῦν. Ἀλλήλ. Στάσις Δ'.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. ἐν τῇ δικαιοσύνῃ συ ῥῦσαί με. καὶ ἐξελῦ με. Κλῖνον πρὸς με τὸ ὖς συ, καὶ σῶσόν με. Γενῦ μοι εἰς Θεὸν ὑπερασπισὴν, καὶ εἰς τόπον ὀχυρὸν τῦ σῶσαί με. ὅτι στερέωμά μυ, καὶ καταφυγή μυ εἶ σύ. Ὁ Θεός μυ, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλῦ, καὶ ἐκ χειρὸς παρανομῦντος καὶ ἀδικῦντος. Ὅτι σὺ εἶ ἡ ὑπομονή μυ Κύριε. Κύριε, ἡ ἐλπίς μυ ἐκ νεότητός μυ. ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός. ἐκ κοιλίας μητρός μυ σύ μυ εἶ σκεπαστής. ἐν σοὶ ἡ ὕμνησίς μυ διαπαντός. ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, καὶ σὺ βοηθός μυ κραταιός. Πληρωθήτω τὸ στόμα μυ αἰνέσεώς συ, ὅπως ὑμνήσω τὴν δόξαν συ, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρεπεῖ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρέπειάν σε. Μὴ ἀποδρίψῃς με εἰς καιρὸν γήρως. ὲν τῷ ἐκλείπειν τὴν ψυχήν με. μὴ ἐγκαταλίπῃς με. Ὁ Θεός με, εἰς τὴν βοήθειάν με πρόσχες. αἰσχυνθήτωσαν, ἢ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν με. Περιβαλλέσθωσαν αἰσχύνην, ἢ ἐντροπὴν οἱ ζητῦντες τὰ κακά μοι. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σὲ, ἢ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σε. Ὁ Θεός με, ἀπαγγελῶ τὰ θαυμάσιά σε, ἃ ἐδίδαξάς με ἐκ νεότητός με, ἢ μέχρι τῦ νῦν. ἃ ἐποίησάς μοι μεγαλεῖα ὁ Θεὸς, τίς ὅμοιός σοι; ὅσας ἐδειξάς μοι θλίψεις πολλὰς, ἢ κακὰς, ἢ ἐπιστρέψας ἐζωοποίησάς με. ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σε. ἢ ἐπιστρέψας παρεκάλεσάς με. ἢ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς με. ἢ ἐν τῇ βουλῇ σε ὡδήγησάς με, ἢ μετὰ δόξης προσελάβε με. Καὶ ἔγνων, ὅτι, οἱ μακρύνοντες ἑαυτὸς ἀπὸ σε. ἀπολῦνται. τὸ δὲ προσκολλᾶσθαι σοὶ τῷ Θεῷ, ἀγαθόν ἐστι, τίθεσθαι ἐν σοὶ τῷ Κυρίῳ τὴν ἐλπίδα με. Καὶ νῦν Κύριε, πρόσχες μοι, ἐπικαλουμένῳ τὸ ἅγιόν σε ὄνομα. ἢ τὴν συνήθη ἐπιζητῦντι ἀντίληψιν.

Φωνῇ με πρὸς Κύριον ἐκέκραξα. Φωνῇ με, πρὸς τὸν Θεὸν ἢ προσέσχε μοι. Ἐν ἡμέρᾳ θλίψεώς με τὸν Θεὸν ἐξεζήτησα, ἢ ἐκ ἠπατήθην ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή με, ἀλλ' ἐμνήσθην τῦ Θεῦ ἢ εὐφράνθην. ἠδολέσχησα, ἢ ὠλιγοψύχησε τὸ πνεῦμά με. διελογισάμην ἡμέρας ἀρχαίας, ἢ ἔτη αἰώνια ἐμνήσθην, ἢ ἐμελέτησα νυκτὸς μετὰ τῆς καρδίας με. ἠδολέσχουν, ἢ ἔσκαλλε τὸ πνεῦμά με. μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος; ἢ εἰς τέλος τὸ ἔλεος αὐτῦ ἀποκόψει, μὴ ἐπιλήσεται τῦ οἰκτειρῆσαι ὁ Θεός; ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτῦ τοὺς οἰκτιρμοὺς αὐτῦ; Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; Βασιλεὺς ἡμῶν ἐστι, ἢ Πατὴρ, ἢ Δημιουργός. Πρὸ αἰώνων ἡ ἀρχὴ αὐτῦ, ἢ ἡ ἀγαθότης αὐτῦ ἀνείκαστος, ἢ ἡ δύναμις αὐτῦ ἀνυπέρβλητος. συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν. εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς, σὺ εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος. Ἀνάστηθι ἢ νῦν ὁ Θεός με. μὴ ἐπιλάθῃ τῆς Φωνῆς τῶν οἰκετῶν σε. Πτωχὸς ἢ πένης αἰνέσουσι τὸ ὄνομά σε· μὴ ἀποστραφήτω τεταπεινωμένος ἢ κατησχυμένος. ἐπίβλεψον εἰς τὴν διαθήκην σε ἢ μὴ παραδῷς τοῖς θη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίοις ψυχὴν ἐξομολογεμένην σοι· καὶ τῷ σεναγμῷ τῶν πενήτων σε μὴ ἐπιλάθῃ εἰς τέλος.

Ὁ Θεὸς, ἦλθοσαν Ἔθνη εἰς τὴν κληρονομίαν σε. ἐμίαναν τὸν ἅγιόν σε ναόν. ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σε, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. τὰς σάρκας τῶν ὁσίων σε, τοῖς θηρίοις τῆς γῆς. ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ, κυκλῷ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων. ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. ἕως πότε Κύριε, ὀργισθήσῃ διηνεκῶς; ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλος σου; μὴ μνησθῇς ἡμῖν ἀνομιῶν ἡμῶν ἀρχαίων. ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. βοήθησον ἡμῖν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. καὶ μὴ μνησθῇς ἔτι ἀνομιῶν ἡμῶν ἀρχαίων. Μήποτε εἴπωσι τὰ Ἔθνη· ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ Ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. Ἀπόδος αὐτοῖς τὸν ὀνειδισμὸν, ὃν ὠνείδισάν σε Κύριε, καὶ ἡμᾶς τοὺς ἐπικαλεμένους σε. εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. Κατὰ τὴν μεγαλοσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. καὶ γνωσθήτω ἐν τοῖς Ἔθνεσιν, ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῶν, ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου. Ὅτι ἡμεῖς, εἰ καὶ ἁμαρτωλοὶ, ἀλλὰ λαός σου, καὶ πρόβατα νομῆς σου ἐσμέν. ἀνθομολογησόμεθά σοι ὁ Θεὸς εἰς τὸν αἰῶνα. εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Ὁ Ποιμαίνων τοὺς ἁγίους σου, πρόσχες ὁ ὁδηγῶν ὡσεὶ πρόβατα αὐτούς. ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι. ἔξεγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ὁ Θεὸς, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου; ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων; καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν; Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Οἴδαμεν ὅτι τῆς φωνῆς σου οὐκ ἠκούσαμεν, τὰ δικαιώματά σου ἠθετήσαμεν, καὶ τὰς ἐντολάς σου οὐκ ἐφυλάξαμεν. ὀπίσω τῶν θελημάτων τῶν καρδιῶν ἡμῶν, καὶ τῶν ἐπιτηδευμάτων ἡμῶν ἐπορεύθημεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θημεν. Καὶ διὰ τοῦτο ἐπεσκέψω ἐν ῥάβδῳ τὰς ἀνομίας ἡμῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας ἡμῶν· τὸ δὲ ἔλεός σου ὁ διεσκέδασας ἀφ' ἡμῶν. Καὶ εἰ ταῖς ὁδοῖς σου ἐπορευόμεθα, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς ἡμῶν ἐταπείνωσας. ἀλλ' ἐλεήμων εἶ, καὶ Φιλάνθρωπος Κύριε, καὶ οἱ οἰκτιρμοί σου ἐπὶ πάντα τὰ ἔργα σου. ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Ἐξέβαλες Ἔθνη, καὶ κατεφύτευσας αὐτὴν, καὶ ἐπλήρωσε τὴν γῆν. Καὶ νῦν διὰ τὰς ἁμαρτίας ἡμῶν, καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατένεμήσατο αὐτήν. ὑψώθη ἡ δεξιὰ τῶν καταπατούντων αὐτὴν, καὶ ἡμᾶς ἐκθλιβόντων, ἡμῶν δὲ κατεχύθη αἰσχύνη. Ἀλλὰ μνήσθητι Κύριε εὐεργεσιῶν σου ἀρχαίων, καὶ κάμψθητι ἐπὶ τῷ ὀνειδισμῷ τῶν δούλων σου, ᾧ ὠνείδισαν οἱ ἐχθροί σου Κύριε. Καταδίωξον αὐτοὺς ἐν τῇ καταιγίδι σου, καὶ ἐν τῇ ὀργῇ σου συντάραξον αὐτούς. Εἰ δὲ ἐμμενοῦσι ταῖς ὑπερηφανίαις αὐτῶν, ὡς τραυματίαν ταπεινωθήσονται. καὶ τότε ζητήσουσι τὸ ὄνομά σου Κύριε, καὶ γνώσονται, ὅτι σὺ εἶ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Δόξ. Καὶ νῦν. Ἀλληλ. Στάσις Ε'.

Μέγας καὶ φοβερὸς εἶ Κύριε, ἐπὶ πάντας τοὺς περικύκλῳ σου. Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. δικαιοσύνη, καὶ κρίμα, ἑτοιμασία τοῦ θρόνου σου. ἔλεος, καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Οἱ δὲ γινώσκοντές σε, καὶ τῷ σῷ ὀνόματι εὐφρανθήσονται, ἀγαλλιάσονται ἐν αὐτῷ. καὶ ἐν τῷ ἐλέει σου ὑψωθήσονται. καὶ ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται χαίροντες. καὶ τῇ πίστει σου, καὶ ἀγάπῃ σου προσφυήσονται, τὴν ἀχλὺν τῆς ἁμαρτίας ἐκτιναξάμενοι. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα. γένοιτο. γένοιτο.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Κύριος γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε! σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου! ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνή-

συνήσει ταῦτα. Ἕως πότε ἁμαρτωλοὶ καυχήσονται Κύριε; Φθέγξονται, καὶ λαλήσουσιν ἀδικίαν, σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί ποτε Φρονήσατε. Ὁ Φυτεύσας τὸ ὦς, οὐχὶ ἀκούει, ἢ ὁ πλάσας τὸν ὀΦθαλμὸν, οὐχὶ κατανοεῖ; ὁ παιδεύων Ἔθνη, οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν; Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι ἀΦ' ἑαυτῶν, μὴ τῷ θείῳ Πνεύματι κυβερνώμενοι. Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. εἰ ἔλεγον· σεσάλευται ὁ πούς μου· τὸ ἔλεός σου Κύριε ἐβοήθει μοι. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὐΦραναν τὴν ψυχήν μου. καὶ ἐγένου μοι Κύριε εἰς καταΦυγὴν, καὶ εἰς βοήθειαν ἐλπίδος μου. Καὶ νῦν Κύριε, ἀντιλαβοῦ μου μέχρι τέλους τῆς ζωῆς μου. τῶν δὲ κατὰ σοῦ, καὶ τῶν σῶν οἰκετῶν ἀΦρονευομένων, ἀσθενῆ ποίησον τὴν πονηρίαν· εἴπως μετανοήσαντες, ἐπιγνοῖεν, καὶ τὴν ὁδὸν τῆς ἀγάπης πορευθείεν, καὶ ἀληθείας.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, βοήσωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. ΠροΦθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν. ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. ΝεΦέλη καὶ γνόΦος κύκλῳ αὐτοῦ· δικαιοσύνη, καὶ κρίμα, κατόρθωσις τοῦ θρόνου αὐτοῦ. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ Φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. ἔΦαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ. ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ. ἐξομολόγησις, καὶ ὡραιότης ἐνώπιον αὐτοῦ. Ἁγιωσύνη, καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ. καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς. δουλεύσωμεν αὐτῷ ἐν εὐΦροσύνῃ, καὶ εἰσέλθωμεν ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν. αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ' ἡμεῖς. ἡμεῖς δὲ λαὸς αὐτοῦ, καὶ πρόβατα νομῆς αὐτοῦ. αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι. χρηστός ἐστιν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ἕως γενε-

γενεᾶς ἡ γενεὰ ἡ ἀλήθεια αὐτῦ.

Τίς λαλήσει τὰς δυναστείας τῦ Κυρίυ. ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτῦ. Μακάριοι οἱ Φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Μνήσθητι ἡμῶν Κύριε, ἐν τῇ εὐδοκίᾳ τῦ λαῦ συ. ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ συ. Ἐφύλασσον οἱ Πατέρες ἡμῶν τὰ μαρτύριά συ, καὶ τὰ προσάγματά συ, ἃ ἔδωκας αὐτοῖς. Ὁ Θεὸς, σὺ ἐπήκουες αὐτῶν, καὶ εὐίλατος ἐγίνυ αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. Ἥμαρτον αὖθις οἱ Πατέρες ἡμῶν, καὶ ἡμεῖς αὐτοῖς ὡμοιώθημεν. ἠνομήσαμεν, ἠδικήσαμεν, ὐ συνήκαμεν τὰ θαυμάσιά συ. ὐκ ἐμνήσθημεν τῦ πλήθυς τῦ ἐλέυς συ. Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν, καὶ ἔθλιψαν ἡμᾶς, καὶ ἐταπεινώθημεν ὑπὸ τὰς χεῖρας αὐτῶν. Ἀλλὰ σὺ Κύριε, ὁ δικαίως ἀπωσάμενος ἡμᾶς, αὐτὸς σῶσον διὰ τῶν σῶν οἰκτιρμῶν. καὶ ἐπισυνάγαγε ἡμας ἐκ τῶν Ἐθνῶν, τῦ ἐξομολογήσασθαι τῷ ὀνόματί συ τῷ ἁγίῳ. ἄφελε τὸν βαρὺν αὐτῶν ζυγὸν ἀΦ' ἡμῶν, καὶ δὸς ἡμῖν ἀναψυχὴν, οὗ οἶδε τρόπον ἡ ἀγαθότης συ. τῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει συ, Εὐλογητὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἀπὸ τῦ αἰῶνος, καὶ ἕως τῦ αἰῶνος.

Ὁ Θεὸς, τὴν αἴνεσίν μυ μὴ παρασιωπήσῃς. ὅτι σῶμα ἁμαρτωλῦ, καὶ δολιυ ἐπ' ἐμὲ ἠνοίχθη. ἐλάλησαν κατ' ἐμῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσυς περιεκύκλωσαν με, καὶ ἐπολέμησάν με δωρεάν. Καὶ σὺ Κύριε, ποίησον μετ' ἐμῦ, ἕνεκεν τῦ ὀνόματός συ, ὅτι χρηστὸν τὸ ἔλεός συ. ῥῦσαί με, ὅτι πτωχὸς, καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μυ τετάρακται ἐντός μυ. Βοήθησόν μοι Κύριε ὁ Θεός μυ, καὶ σῶσόν με κατὰ τὸ ἔλεός συ. ἐξομολογήσομαί σοι τῷ Κυρίῳ σΦόδρα ἐν τῷ στόματί μυ, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω τὴν ἐπιείκειάν συ. ὅτι παρέστης ἐκ δεξιῶν πένητος, τῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μυ.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μυ. μεγάλα τὰ ἔργα Κυρίυ. ἐξομολόγησις, καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτῦ. καὶ ἡ δικαιοσύνη αὐτῦ μένει εἰς τὸν αἰῶνα τῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτῦ. Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος. τροΦὴν ἔδωκε τοῖς Φοβυμένοις αὐτόν. ἐξανέτειλεν ἐν σκότει Φῶς τοῖς εὐθέσι. λύ

τρωσιν

τρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. ἰσχὺν ἔργων αὐτοῦ. ἀνήγγειλεν αὐτῷ. ἔργα χειρῶν αὐτοῦ. ἀλήθεια ἡ κρίσις. Πιστὰ πάσαι αἱ ἐντολαὶ αὐτοῦ. ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. ἅγιον καὶ Φοβερὸν τὸ ὄνομα αὐτοῦ. καὶ εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. καὶ αἰνετὸν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; ὁ ἐν ὑψηλοῖς κατοικῶν; καὶ τὰ ταπεινὰ ἐφορῶν; ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν; καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα; ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ; μητέρα ἐπὶ τέκνοις εὐφραινομένην; Ἀκαταλήπτος ἡ μεγαλειότης σου Κύριε. καὶ ἀνεξερεύνητος λογισμοῖς, καὶ γλώττοις ἀνθρώπων ἀνεκδιήγητος.

Δόξ. Καὶ νῦν. Ἀλλη. Στάσις ς'.

Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου· ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, ὅσάκις ἐν ταῖς ἡμέραις μου ἐπεκαλεσάμην αὐτόν. Περιέσχον με ὠδῖνες θανάτου, καὶ κίνδυνοι ᾅδου. εὗρόσαν με θλίψεις, καὶ ὀδύναι, καὶ ἐπὶ τῷ ὀνόματι Κυρίου ἐπεκαλεσάμην. ὅτι ἐλεήμων ὁ Θεὸς ἡμῶν, καὶ δίκαιος, μέχρι καὶ τῶν νηπίων διατείνων τὴν αὐτοῦ Πρόνοιαν. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριε εὐηργέτησέ σε. ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου, ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου, ἀπὸ ὀλισθήματος. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Διάπαντος αὐτοῦ μνησθήσομαι, καὶ ἀεὶ τὰς εὐχάς μου ἀποδώσω. Κύριε, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου. ἔργον τῆς σῆς χειρὸς, καὶ τῆς καθ' ἡμέραν ἀδιαλείπτου Προνοίας σου. Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή. καὶ πρὸς τὸν μέλλοντα βίον σαίνην ἐνώπιόν σου, καὶ ἐν χώρᾳ ζώντων ἐξομολογήσαίμην σοι.

Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἐχθρός; πλήθη δαιμόνων ἐκύκλωσάν με, ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸς, ὡσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. ἔπεσον, καὶ οἰκτείρας ἀνήγειρέ με. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. δεξιὰ Κυρίου ὕψωσέ με. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με. Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε. Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.

ΕΞομολογήσομαι τῷ Κυρίῳ, ὅτι ἀγαθὸς· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς, τὴν γῆν, καὶ πάντα τὰ ὑπ' αὐτοῖς ἐν συνέσει. Τῷ λυτρωμένῳ ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Τῷ διδόντι τροφὴν πάσῃ σαρκί. ἐξομολογήσομαί σοι Κύριε, ἐν ὅλῃ καρδίᾳ μου· ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου; ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου· ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα. τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

ΚΥριε, σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. σὺ ἐκτήσω τοὺς νεφρούς μου. καὶ πᾶσαν τὴν τῆς σαρκός μου ὑπόστασιν σὺ ἐδημιούργησας. καὶ ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου. Ἰδοὺ Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα, καὶ τὰ ἀρχαῖα. σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου. σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν τὴν τρίβον μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες. ὅτι ἐκ γλώσσης οὐδὲ τὸ ὀσφῦν μου ἀπὸ σοῦ. εἶδον καὶ τὸ ἀκατέργαστόν μου νόημα οἱ ὀφθαλμοί σου. καὶ ἐπὶ τὸ βιβλίον σου πάντες ἐγραμμένοι εἰσὶ, Πῶ πορευθῶ Κύριε, ἀπὸ τοῦ Πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου πῶ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. ἐὰν ἀναλάβοι μου τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμασώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γι-

μου γινώσκει σΦόδρα, ὅτι σύ με ἐΦώτισας Κύριε. Δοκίμασόν με δὴ ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου. ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ, καὶ ἐν τῷ Φωτί σου ἄχρι τέλους.

ΕΞελοῦ με Κύριε ἐκ δαιμόνων, καὶ ἐξ ἀνθρώπου πονηροῦ. καὶ ἀπὸ ἀνδρὸς ἀδίκου, καὶ δολίου ῥῦσαί με. οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. ἔκρυψαν παγίδα μοι, καὶ σχοινίοις διέτειναν αὐτὴν τοῖς ποσί μου. ἐχόμενα τρίβου, σκάνδαλα ἔθωτό μοι. ἐγὼ δὲ εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ. ἐνώτισαι Κύριε τὴν Φωνὴν τῆς δεήσεώς μου. Κύριε, δύναμις τῆς σωτηρίας μου. ἐπεσκίασας ἐπὶ τὴν κεΦαλήν μου ἐν ἡμέρᾳ πολέμου. Καὶ νῦν μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ, μὴ δὲ ἐγκαταλίπῃς με τοῖς διαλογιζομένοις κατ' ἐμοῦ. μήποτε ὑψωθῶσιν ἐν τῇ ὑπερηΦανίᾳ αὐτῶν. Ἔγνων Κύριε, ὅτι ποιήσεις τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Οἱ δὲ ὑπερήΦανοι, καὶ γλωσσώδεις ἐπὶ τῆς γῆς ὁ κατευθυνθήσονται.

ΕἸσάκουσον Κύριε τῆς Φωνῆς μου, ἧς ἐκέκραξα. Ἐλέησόν με, καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν ἡ καρδία μου. Κύριον ζητήσω. ἐξεζήτησέ σε τὸ πρόσωπόν μου. τὸ πρόσωπόν σου Κύριε ζητήσω. Μὴ ἀποσρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ. μὴ ἀποσχοράκισῃς με, καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ Σωτήρ μου. Νομοθέτησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ. Καὶ τὸ ἔλεός σου καταδιώξαί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Κύριος Φωτισμός μου, τίνα Φοβηθήσομαι; Κύριος ὑπερασπισὴς τῆς ζωῆς μου ἀπὸ τίνος δειλιάσω; Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, ὁ Φοβηθήσεται ἡ καρδία μου. ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν σοὶ τῷ Θεῷ μου ἐγὼ ἐλπίζω. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, ὁ Φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. ἄλλον γὰρ ἐκτὸς σοῦ Θεὸν ὁ γινώσκω. καὶ βοηθὸν ἐν θλίψεσι. πλὴν σοῦ ἕτερον οὐκ ἔχω. Σύ μου εἶ ἐλπὶς ὁ Πατήρ. καταΦυγή μου ὁ Υἱός. σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία ὁ Θεός μου, δόξα σοι εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δόξ. Καὶ νῦν. Ἀλληλ. Στάσις ζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΥΧΑΙ ΔΙΑΦΟΡΟΙ

Πάνυ ὡραῖαι ἐξομολογητικαί τε καὶ κατανυκτικαὶ, ἐκ διαφόρων συνερανισθεῖσαι.

Εὐχὴ Α'. εἰς τὸν Παντοκράτορα, καὶ Φιλάνθρωπον Θεὸν καὶ Πατέρα, τῶ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείω τῶ μεγάλω.

Δέσποτα Θεὲ τῶν ἁπάντων, Πάτερ ὑπεράγαθε, ὁ ὢν ἀεὶ, καὶ διαμένων, ὁ προὼν ὑπεραναρχως παντὸς αἰῶνος, καὶ ἀεὶ ὡσαύτως ἔχων τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον. Ὁ τῇ ὐσίᾳ ἀκατανόητος, καὶ τῷ μεγέθει ἀπεριόριστος, καὶ τῇ ἀγαθότητι ἄπειρος. Ἡ πηγαία, καὶ ἀνεκφραστος ἄβυσσος τῆς δυνάμεως, καὶ τῆς σοφίας· Εὐλογῶ σε, ὅτι ἐπέβλεψας ὸν ἐλέει, καὶ οἰκτιρμοῖς ἐπὶ τὴν ἐμὴν ἀθλιότητα, καὶ ἐλυτρώσω με τῆ πυλῆ, καὶ τῆς πλινθείας τῆ μοχθηρῆ, καὶ ματαίω Κόσμω, καὶ τῶν ἐξ αὐτῆ πολλῶν, καὶ ποικίλων βρόχων τῆ πονηρῆ Ἄρχοντος τῆ σκότες τῆ αἰῶνος τότε. Εὐλογῶ σε Κύριε, ὅτι ἐθαυμάσωσας ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν τὰ ἐλέη σε, καὶ κατὰ παντά μοι φιλανθρωπότατος γέγονας, καὶ τροφεὺς, καὶ κυβερνήτης, καὶ φύλαξ, καὶ ἀντιλήπτωρ, καὶ καταφυγὴ, καὶ Σωτὴρ, καὶ κηδεμὼν ψυχῆς τε, καὶ σώματος. Εὐλογῶ σε Κύριε, ὅτι πολλὴν, καὶ ἄπειρον τὴν φιλανθρωπίαν σε ἐνέδειξας εἰς ἐμὲ τὸν ἀνάξιον· ὅτι καθ' ἑκάστην ὑπὸ τῆς οἰκείας ῥαθυμίας τῷ Διαβολῳ ἀπ' ἐμαυτῆ προδιδόμενον, διαφυλάττεις, καὶ σώζεις με, καὶ τῶν κύτῆ ἀφαρπάζεις παγίδων. Εὐλογῶ σε Κύριε, ὅτι ἐδωρήσω μοι ἔξεσίαν μετανοίας ἐπὶ ταῖς ἁμαρτίαις μου, καὶ μυρίας ἀφορμὰς ἐπιστροφῆς ὑπέδειξας ἀπὸ τῆς μοχθηρίας μου. Εὐλογῶ σε Κύριε, ὅτι ἀδυνατοῦντος ἐπιῤῥωννύεις μου τὴν ἀσθένειαν, καὶ οὐκ ἐᾷς με ὅλως καταπεσεῖν· ἀλλ' εὐθὺς ὀρέγεις μοι χεῖρα βοηθείας ἄνωθεν, καὶ πρὸς σεαυτὸν

αὐτὸν ἐπανάγεις.

Τί ἀνταποδώσω σοι, Δέσποτα τανάγαθε, περὶ πάντων, ὧν ἐποίησας, ἢ ποιεῖς ἀγαθῶν, περὶ ἐμὲ τὸν ἁμαρτωλόν; τίνα εὐχαριστίαν ἀναπέμψω σοι; ἀπὸ γᾶν τῆς ἡμέρας ἕως νυκτὸς, ὡς χιλιοὺν, ἕτω Φωνήσω· ἢ ὡς ἀηδὼν, ἕτως ἀλαλάξω. ἢ ὁ παύσομαι εὐλογῶν σε, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τὸν Ποιητὴν, ἢ εὐεργέτην, ἢ κηδαμόνα μου. Ἐγὼ μὲν Κύριε, οὐκ εἰμὶ ἄξιος πρὸς σὲ Φθέγξασθαι, δι' ὅ, τι σφόδρα ἁμαρτωλὸς τυγχάνω. Εὐχαριστῶ σοι Κύριε, ὅτι ἐμακροθύμησας ἐπὶ τοῖς παραπτώμασί μου, ἢ ἄχρι τοῦ νῦν, ἀτιμώρητόν με εἴασας. Εὐχαριστῶ σοι Κύριε, ὅτι ὁ βέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι, ἢ ζῆν αὐτόν· Ἐγὼ μὲν γὰρ ἄξιός εἰμι πολλὰ παθεῖν, ἢ ἀπορρίφῆναι ἀπὸ τοῦ προσώπου σου Κύριε· ἡ δὲ ἀνεξίκακός σου Φιλανθρωπία, ἐμακροθύμησεν ἐπ' ἐμοί. Εὐχαριστῶ σοι Κύριε, εἰ ἢ μὴ τυγχάνω αὐτάρκης πρὸς εὐχαριστίαν τῆς σῆς ἀνεξικακίας. Ἐλέησόν με Κύριε, ἢ ἀπεύθυνον μου τὴν ὁδὸν τῆς ψυχῆς, καὶ τὴν ὁδὸν τῆς ζωῆς μου εἰς τὸ θέλημά σου, ἢ κυβέρνησον, ὡς γινώσκει ἡ εὐσπλαγχνία σου. ἕνεκεν τοῦ πλήθους τῶν οἰκτιρμῶν σου, τελείωσόν με εἰς παν ἔργον ἀγαθὸν τῆς σῆς εὐαρεσήσεως, ἢ ὕτω με ἀπόλυσον ἐκ τοῦ ἀθλίου μου σώματος. Ὅτι σόν ἐστι τὸ ἐλεεῖν, ἢ σώζειν ἡμᾶς ὁ Θεός. Καὶ σοὶ τὴν δόξαν, ἢ εὐχαριστίαν, ἢ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ μονογενεῖ σου Υἱῷ, ἢ τῷ παναγίῳ, ἢ ἀγαθῷ, ἢ ζωοποιῷ σου Πνεύματι· νῦν, ἢ ἀεὶ, ἢ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Α'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον, τοῦ νομοφύλακος Ἰωάννου Διακόνου τοῦ Εὐγενικοῦ ἀδελφοῦ Μάρκου τοῦ Ἐφεσου.

Θεομῆτορ ὑπέραγνε. Ταύτης γὰρ τῆς προσηγορίας, οὐκ ἔχω σοι κρεῖττω ἢ ἐξαίρετον, ἢ θειοτέραν εὑρεῖν, ἢ προσενεγκεῖν. Θεομῆτορ ἀειπάρθενε, Ἁγνὴ, ἢ Πάναγνε, ἢ Ὑπεραγνε, ἢ νεῦ, ἢ λόγον, ἢ πνεῦμα, ἢ σῶμα. Ἡ τὸν καθαρὸν, ἢ Ὑπεραγνον Λόγον, ἢ Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ τῶν σῶν ὑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σῶν ὑπεράγνων αἱμάτων, ἄϋλον ὄντα, ἢ ἀσώματον, σωματώσασα, ἢ ἀληθῶς ἀνθρωπίνην σάρκα τούτῳ δανείσασα. ἢ Φρικτῶς, ἢ ὑπὲρ λόγον, τῷ περιόντι τῆς ἀρετῆς, οἰκητήριον σεαυτὴν παρασκευάσασα τῶ δι' ἡμᾶς τὸν ἀνθρώπος. ἢ διὰ τὴν ἡμετέραν σωτηρίαν, κλῖναι τὸν οὐρανὸς, ἢ συγκαταβῆναι πρὸς τὴν ἡμῶν ταλαιπωρίαν εὐδοκήσαντος. Θεοτόκε παναμώμητε· ἡ καθαρωτάτη, ἢ ἄσπιλος, ἢ τὸν τρόπον, ἢ βίον, ἢ λόγον· ἢ πάσης καθαρᾶς κτίσεως, νοερᾶς τε ἢ αἰσθητῆς ἁγνοτέρα. Θεοτόκε πανάχραντε. Θεοτόκε πανύμνητε. κυριώνυμε, πολυώνυμε, ἢ μεγαλώνυμε· ὅλη πεφωτισμένη, ὅλη ἡγιασμένη, ὅλη κεχαριτωμένη. Ἀνύμφευτε νύμφη, ἢ Μητρόθεε Κόρη· πλατυτέρα τῶν οὐρανῶν, λαμπροτέρα τοῦ ἡλίου, τιμιωτέρα τῶν ὅλων Κτισμάτων, ἁγιωτέρα τῶν Χερουβίμ, ἐνδοξοτέρα τῶν Σεραφίμ. Δέσποινα τῶν Ἀγγέλων. Κυρία τοῦ Κόσμου. Ἀγαθὴ ἢ πανάγαθε, ἢ τοῦ μόνου ἀγαθοῦ, ἢ ὑπεραγάθου Θεοῦ, δοχεῖον ὑπεράγαθον. Πρόσδεξαι, ὡς εὐσυμπάθητος, εὐμενῶς, τὴν κατὰ δύναμιν μικρὰν, ἢ ταπεινὴν εὐχαριστίαν· ἡ ὑπὸ πάσης Κτίσεως διαπαντὸς προσκυνουμένη, ἢ κατὰ πάντων ἔχουσα τὴν ἐξουσίαν. Πρόσδεξαι προσηνῶς δεομένην ἱκεσίαν, ἡ ὡς συγγενὴς τοῖς ἀνθρώποις τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης Φύσεως ἀκριβῶς γινώσκουσα, ἢ Φιλανθρωπευομένη πᾶσι, προνοουμένη τε ἢ ἐπισκεπτομένη, συμπαθέσατε. Ἐπάκουσόν μου, γλυκυτάτη Δέσποινά μου, Ὑπεραγία Θεοτόκε, Θεοκόσμητε, ἢ Θεοχάριτωτε· ἡ Φύσει τὸ πρᾶον Θεομιμήτως, ἢ ἵλαρὸν, ἢ εὐμενὲς, ἢ ἥμερον ἔχουσα. ἡ ἐκ δεξιῶν ἀεὶ τοῦ πρᾳοῦ, ἢ ἀγαθοῦ Θεοῦ. λαμπρῶς παρισταμένη βασίλισσα. ἡ ὠ ἱματισμῷ διαχρύσῳ τῶν ἱερῶν ἀρετῶν, ἢ ποικίλοις χαρίσμασι τοῦ ἁγίου Πνεύματος κεκοσμημένη. ἡ πάντων κυριεύουσα, ἢ πανταχοῦ Φθάνουσα, ἢ πάντα δυναμένη, ὡς τοῦ παντοδυνάμου Θεοῦ Μήτηρ· ἢ πάντας τοὺς ἐν ἀνάγκαις παραμυθουμένη, ἢ τῶν πειρασμῶν ἐλευθεροῦσα, ἢ τὰς θλίψεις ἐπικουφίζουσα.

Ἐλαφρυνον δεομαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ ἢ οἰκτροῦ δούλου σου, τὸ βαρὺ τῶν ἁμαρτιῶν φορτίον, δι' ὃ ἢ οἱ βιωτικοὶ πειρασμοὶ ἐπέρχονται· ἢ τὰς ἀνομίας μου πάσας τῇ ῥοῇ τῶν ἐμῶν δακρύων ἀπόπλυνον. Ἡ τὸν ἀμνὸν τῷ Θεῷ τέξασα, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· ἆρον τὴν πω-

τὴν πώρωσιν τῆς Φιλαμαρτήμονός μȣ γνώμης. δὸς τῇ ψυχῇ μȣ κατάνυξιν, ἡ τοῖς ὀΦθαλμοῖς μȣ πηγὴν δακρύων ἡ πόνθος χαροποιόν.

Ἀπάλλαξόν με Δέσποινά μȣ Ὑπεραγία Θεοτόκε τῶν σκανδάλων τȣ πονηρȣ, ἡ τῶν ἀΦορήτων κοσμικῶν πειρασμῶν, οἷς ἐξ ἀπαλῶν ὀνύχων περιέπεσον. Καὶ τὴν καρδίαν μȣ, μυρίαις λύπαις ἀεὶ, ἡ θλίψεσι, ἡ συμΦοραῖς συνεχομένην, παραμύθησαι, ἡ θεράπευσον, ἡ γλυκεῖα παραμυθία τȣ Κόσμȣ. ἡ ἐλπὶς τῶν ἀπηλπισμένων. ἡ βοήθεια τῶν ἀβοηθήτων· Καὶ τὸν τȣ Θεȣ Φόβον, ἡ τὴν ἀγάπην αὐτȣ ἐνοικίζȣσα, ἡ πάσης περισάσεως ἡ ἀθυμίας αὐτὴν ἀπαλλάττȣσα, τῷ πλȣσίῳ ἐλέει σȣ καταγλύκανον.

Ἕως πότε, Δέσποινά μȣ πανάγαθε, βοῶ, ἡ ἐγκαταλιμπάνομαι; κράζω, ἡ ȣκ εἰσακȣόμαι; Ἀλλὰ δικαίως παρορῶμαι, Θεομῆτορ πανάχραντε· ὅτι ἐκ τῆς πρὸς τὰ Φαῦλα ῥοπῆς, ἡ ἕξεως, τῷ ἀρχεκάκῳ ἐχθρῷ διαπαντὸς ἡττώμενος, ὑποχείριος γίνομαι. σῆσον ἓν ταῖς πρεσβείαις σȣ, τὴν κατ' ἐμȣ μανίαν τȣ ἐχθρȣ. Θραῦσον τῇ δυνάμει σȣ τὰς ἐναντίας αὐτȣ μηχανάς. Γαλήνην, ἡ εἰρήνην, ἡ Φῶς, ἀπὸ ζάλης, ἡ τριχυμίας, ἡ σκότȣς μοι μεταποίησον· πανταχȣ μοι παρȣσα, ἡ πάντοτε Φυλάττȣσα, ἡ ἅπαν μȣ διανόημα ἡ λόγον, ἡ πρᾶξιν πρὸς τὸ δέον ἰθύνȣσα. ὅλον με ἁγιάζȣσα, ἡ Φωτίζȣσα. ἡ πάντά μȣ πρὸς ἀρετὴν ὁδηγȣσα. ἡ τὸ ἀγαθὸν, ἡ πανάγιον θέλημα τȣ σȣ ἰȣ, ἡ Θεȣ μȣ, τηρεῖν, ἡ ποιεῖν προθύμως ἐνάγȣσα. ἡ πρὸς ἐκπλήρωσιν τῶν αὐτȣ ζωηρῶν ἐντολῶν, ἐνισχύȣσα τὴν ῥᾳθυμόν μȣ προαίρεσιν· ἵνα, σωθεὶς, Δέσποινά μȣ Θεογενήτρια, ἡ τῆς ἐρανῶν βασιλείας διὰ σȣ ἀξιωθεὶς, δοξάζω σὲ τὴν δεδοξασμένην, ἡ ὑπερευλογημένην, εἰς τȣς αἰῶνας τῶν αἰώνων· Ἀμήν. Ἀμήν. Ἀμήν.

Εὐχὴ Α'. εἰς τὸν Κύριον ἡμῶν Ἰησȣν Χριστὸν, Τȣ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννȣ τȣ Χρυσοστόμȣ, ἣν ἔλεγε καθ' ἑκάστην.

Κύριε ὁ Θεός μȣ· ὁ μέγας, ἡ Φοβερὸς, ἡ ἔνδοξος· ὁ πάσης ὁρωμένης, ἡ νοȣμένης κτίσεως Δημιȣργός. ὁ Φυλάσσων τὴν διαθήκην σȣ, ἡ τὸ ἔλεός σȣ τοῖς ἀγαπῶσί σε, ἡ Φυλάσσȣσι τὰ προστάγματά σȣ.

Καὶ νῦν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ νῦν, ἡ πάντοτε εὐχαριςῶ σοι, πασῶν ἕνεκα τῶν εἰς ἐμὲ γινομένων εὐεργεσιῶν σε, Φανερῶν, ἡ ἀΦανῶν. Καὶ μέχρι τῦ νῦν αἰνῶ, ἡ δοξάζω, ἡ μεγαλύνω σε· ἀνθ' ὧν ἐθαυμάξωσας ἐπ' ἐμοὶ τὰ ἐλέη σε τὰ πλέσια, ἡ τὺς οἰκτιρμύς σε· ἀντιλαβόμενός με ἐκ γαςρὸς μητρός με, ἡ ἐν πᾶσι προνοησάμενος, συντηρήσας τε ἡ διακυβερνήσας ὁσίως τὰ κατ' ἐμὲ, διὰ μόνην χρηςότητα, ἡ Φιλανθρωπίαν σε. Οὐ γὰρ διὰ τὸ ἀνάξιόν με ἡ ἐμπαθὲς, ὑπερεῖδες τὴν ἐμὴν ταπείνωσιν· ἀλλὰ διὰ τὸ Φιλάνθρωπόν σε, ἡ συμπαθὲς, εὐεργετῶν ἡ προνούμενος ὁ διέλιπες· ἡ ἕως γήρως, ἡ πρεσβείε, ὁ Θεός με, μὴ ἐγκαταλίπῃς με. Ἰησῦ Χριςὲ, τὸ καλὸν ὄνομα, ὁ γλυκασμός με, ἡ ἡ ἐπιθυμία με, ἡ ἡ ἐλπίς με· ὁ ἀνανθρωπήσας δι' ἡμᾶς, ἡ πάντα ἐν σοΦίᾳ οἰκονομήσας, ἡ διαθέμενος, τῆς ἡμῶν ἕνεκα σωτηρίας. Ἐξομολογῦμαί σοι Κύριε ὁ Θεός με, ἐν ὅλῃ καρδίᾳ με, κλίνω γόνυ σώματος, ἡ ψυχῆς, ἐξαγορεύων σοι τῷ Θεῷ με πάσας τὰς ἁμαρτίας με. Κλῖνον ἡ αὐτὸς τὸ ὖς σε εἰς τὴν ἐμὴν δέησιν, ἡ ἄΦες τὴν ἀσέβειαν τῆς καρδίας με. Ἥμαρτον, ἠνόμησα, ἐπλημμέλησα, παρώξυνα, παρεπίκρανα σὲ τὸν ἐμὸν ἀγαθὸν Δεσπότην, ἡ τροΦέα, ἡ κηδεμόνα. ἐκ ἔςιν εἶδος κακίας ῥητὸν, ἢ ἄῤῥητον, ὃ ἐκ ἐποίησα, ἡ ἔργῳ, ἡ λόγῳ, ἡ γνώσει, ἡ ἀγνοίᾳ, ἡ ἐνθυμήμασι, ἡ νοήμασι, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν ἁμαρτήσας. Καὶ πολλάκις μετανοεῖν ὑποσχόμενος, τοσαυτάκις τοῖς αὐτοῖς περιέπεσα. Εὐκοπώτερον ςαγόνες ὑετῦ ἀριθμηθήσονται, ἢ τῶν ἐμῶν ἁμαρτημάτων ἡ πληθύς. Ὑπερῆραν γὰρ τὴν κεΦαλήν με, ἡ ὡσεὶ Φορτίον βαρὺ ἐβαρύνθησαν. Ἀπὸ γὰρ νεότητός με ἡ μέχρι τῦ νῦν, ταῖς ἀτόποις ἐπιθυμίαις θύραν ἀνοίξας, ἀχαλινώτοις, ἡ ἀτάκτοις ἐχρησάμην ὁρμαῖς· μολύνας τὸν χιτῶνα, τὸν ἄνωθεν ὑΦαντὸν τῦ ἁγίε βαπτίσματος· τὸν ναόν με τῦ σώματος κηλιδώσας· τὴν ταλαίπωρόν με ψυχὴν τοῖς πάθεσι τῆς ἀτιμίας καταμιάνας ἡ πᾶσαν ἄλλην παρανομίαν, ἡ ἀδικίαν διαπραξάμενος· ὧν, ἐὰν κατὰ μέρος ἐπιμνησθῆναι θελήσω, ἐπιλείψει με διηγέμενον ὁ χρόνος.

Ἐπεὶ δὲ πάντα οἶδας αὐτὸς ὐδὲ γάρ ἐςι κτίσις ἀΦανὴς ἐνωπιόν σε,

σε. πάντα δὲ γυμνὰ, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σε) τί δεῖ πρὸς εἰδότα λέγειν τὰ μὴ ἀγνοούμενα παρὰ σοῦ; Ἐμοῦ δὲ συντρίβεται ἡ καρδία, καὶ ἡ ψυχὴ, καὶ ὅλος εἰς ἀπορίας καταδύομαι βάθος, ἀνθυμούμενος, ὅτι, τηλικαῦτα ἡμαρτηκὼς, οὐδὲ μικρόν τι μεταμελείας ἔργον ἐνεδειξάμην. καὶ ὁ καιρὸς τῆς τομῆς ἐγγὺς, καὶ ἡ προθεσμία τοῦ θανάτου παρέσηκεν, ὁ δὲ τῆς μετανοίας καιρὸς, οὐδαμοῦ. διὰ τοῦτο τετάραγμαι ἡ ψυχή μου, καὶ κατώδυνός ἐστι, καὶ κατηφείας πλήρης. ἀνέτοιμος γὰρ καὶ ἀπαρασκεύαστος ὢν, διαλογιζόμενός τε, καὶ ἀνακρίνων τὰ κατ' ἐμαυτὸν, οὐδὲν ἱκανὸν πρὸς ἀπολογίαν εὑρίσκω, οὐδέτινα τρόπον καὶ μηχανὴν, δι' ὧν τοῦ αἰωνίου πυρὸς ῥυσθήσομαι. εἰ γὰρ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ἐγὼ ποῦ φανοῦμαι; Καὶ, εἰ διὰ πολλῶν θλίψεων ἡ βασιλεία τῶν οὐρανῶν τοῖς ἀξίοις καταχληροῦται· καὶ ξενὴ, καὶ τεθλιμμένη ἡ ὁδὸς τῆς ζωῆς· πῶς ἐγὼ, καθηδυπαθῶν, καὶ ἀκολασαίνων διαπαντὸς, τῆς σωτηρίας ἀξιωθήσομαι; Καὶ, εἰ πᾶσα δικαιοσύνη ἀνθρώπου, ὡς ῥάκος ἀποκαθημένης· ὁ τοσοῦτος βόρβορος, καὶ ἀδικία, τί λογισθήσεται; Καὶ, εἰ ὑπὲρ ἀργοῦ λόγου ἀπολογήσασθαι πρόκειται· ὑπὲρ τοσούτων ἐγὼ ἁμαρτημάτων, τίνα εὐπροσωπον ἔξω τὴν ἀπολογίαν; Οἴμοι ψυχή! ὅτι ἔτω τὰ καθ' ἡμᾶς προεχώρησε! βραχὺς ὁ βίος, καὶ εὐπερίσατος, ὀξέως παροδεύων, καὶ πρὸς τὸν θάνατον παραπέμπων. αἰωνία τῶν ἁμαρτωλῶν ἡ τιμωρία· ὥσπερ καὶ ἡ τῶν δικαίων βασιλεία. καὶ ἡ ζωὴ ἀμφοτέρων, μὴ διακοπτομένη θανάτῳ. Τί οὖν ποιήσω; τί διαπράξωμαι; εἰς ποῖον χάος ἐμαυτὸν ἀκοντίσω; Φοβερὸς γὰρ καὶ ὁ θάνατος, καὶ μάλιστα τῶν ἁμαρτωλῶν. ἐπεὶ καὶ πονηρός· θάνατος γὰρ ἁμαρτωλῶν πονηρός. Φοβερώτερον δὲ πολλῷ μᾶλλον, τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, ἐξ ὧν οὐκ ἔστιν ὁ ἐξελέσθαι δυνάμενος.

Ὅταν οὖν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ ἀποδῆναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ὅταν θρόνοι τεθῶσι, καὶ ὁ ἀδέκαστος Κριτὴς Φοβερὸς καθήσῃ· καὶ ὁ ποταμὸς τοῦ πυρὸς ἕλκων ἔμπροσθεν· καὶ ἡ λαμπρότης, καὶ ἡ χαρὰ τῶν δικαίων ἡτοιμασμένη φανῇ· καὶ πᾶσαι αἱ τῶν Ἀγγέλων μυριάδες, καὶ πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι, καὶ πᾶσα ὁμοῦ ἡ Κτίσις, ἥτε ὁρωμένη, καὶ νοουμένη ὑπότρομος παρίσταται· τί

ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγὼ τότε διαπράξωμαι; αἰσχύνης πεπληρωμένος; ὑπὸ τῶ συνειδότος κατεγνωσμένος; παῤῥησίας πάσης, ἢ ἀπολογίας ἐσερημένος; σεναγμῶ πάντοθεν. οἴμοι τῶν κακῶν! Τί πρῶτον θρηνήσω; τί δεύτερον σενάξω; τί ἀπολοΦύρωμαι; τὴν σέρησιν τῶν ἀγαθῶν, ἢ τὴν ὀδύνην τῶν ἀλγεινῶν; τὸ ἀπέραντον τῆς τιμωρίας, ἢ τὸν ἀπὸ Θεῶ χωρισμόν; κλαῦσον ἀθλία ψυχὴ, ἐνθυμουμένη ταῦτα, ἢ ὁποῖα μετὰ τὴν ἔξοδον ἀπαντήσεταί σοι, ὡς λίαν ἐπαχθῆ ἢ ἐπώδυνα. ἢ βόησον.

Ὁ Θεὸς τῶν Δυνάμεων· ὁ Θεὸς ὁ αἰώνιος· ὁ Θεὸς τῶ ἐλέες, ἢ τῶν οἰκτιρμῶν· μὴ ἐγκαταλίπῃς με· μὴ ὑπερίδῃς με· μὴ ἀποσήσῃς ἀπ' ἐμῶ τὸ ἔλεός σου. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου· Οἶδα γὰρ τῶ ἐμῶ Δεσπότῃ τὸ εὐσυμπάθητον. οἶδα τῶ Φιλανθρώπῳ τὸ ἀμνησίκακον. ἢ ὅτι θελητὴς ἐλέες ἐσι, μὴ θέλων τὸν θάνατον τῶ ἁμαρτωλῶ, ὡς τὸ ἐπισρέψαι ἢ ζῆν αὐτον· θέλων δὲ πᾶντας σωθῆναι, ἢ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἢ μάλισα τὺς ἀπὸ ἁμαρτίας ἐπισρέΦοντας. ὐ γὰρ ἦλθε καλέσαι δικαίυς· ἀλλὰ ἁμαρτωλὺς εἰς μετάνοιαν. ὐ γὰρ χρείαν ἔχυσιν οἱ ὑγιαίνοντες ἰατρῶ· ἀλλ' οἱ κακῶς ἔχοντες.

Καὶ γὰρ ἅτως ἔχων, ἢ ἅτω διανούμενος, ὐκ ἀπαγορεύω τῆς ἀγαθῆς ἐλπίδος, ὐδὲ ἀπογινώσκω τὴν σωτηρίαν μου. Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου· ἐγὼ δὲ εἰμι γῆ ἢ σποδός. σκώληξ ἢ ὐκ ἄνθρωπος. ὄνειδος ἀνθρώπων, ἢ ἐξουθένημα λαῦ. δός μοι λόγον ἐν ἀνοίξει τῶ σόματός μου, ὁ δίδυς εὐχὴν τῷ εὐχομένῳ. ὅτι παρὰ σοῦ πᾶσα δόσις ἀγαθή· ἢ πᾶν δώρημα τέλειον ἄνωθέν ἐσι καταβαῖνον ὐκ σοῦ τῶ Πατρὸς τῶν Φώτων. ἵνα ἢ δεηθῶ ἀξίως, ἢ ἱκετεύσω συμΦέροντως, ἢ μὴ ἀποσραΦῶ τεταπεινωμένος, ἢ κατησχυμμένος· ἀλλὰ τυχὼν ὧν ἤλπισα, ἢ ἅτως ἀπελεύσομαι χαίρων, ὐ πληροΦορίᾳ καρδίας.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου. Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι, ὁ ἰατρὸς τῶν ψυχῶν, ἢ τῶν σωμάτων. ὡς ἐπὶ τῶ Φοβερῶ σου παρισάμενος βήματος, ὡς τῶν ἀχράντων σου ποδῶν ἐΦαπτόμενος· ἅτω παρακαλῶ, ἢ δέομαι, ἢ ἀντιβολῶ μετὰ συντετριμμένης καρδίας, ἢ τεταπεινωμένης

Ἱλά-

Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. συγχώρησόν μοι τῷ ἀχρείῳ, καὶ ταπεινῷ. ἔπιδε ἐξ ἁγίας κατοικητηρίας σε ἐπὶ τὴν ἐμὴν ἀθλιότητα. ἐπίβλεψον ἐξ ἁγίων σε ὑψωμάτων ἐπὶ τὴν προσευχὴν τῆ ταπεινῆ δέλε σε, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν με. ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τῆ με ἀπελθεῖν, ὅθεν οὐκ ἔτι λοιπὸν ἐπιστρέψω. ὡς ἄνθρωπος, ἥμαρτον, ὡς Θεὸς συγχώρησον. σύ γὰρ οἶδας, Δέσποτα, τὸ εὐόλισθον τῆς ἀνθρωπίνης Φύσεως. Καὶ ὅτι, ἔγκειται ἡ διάνοια τῆ ἀνθρώπε ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. Μνήσθητι, ὅτι χὲς ἐσμόν. μνήσθητι, ὅτι σὺ μόνος καθαρὸς, καὶ ἄχραντος, καὶ ἀμίαντος· πᾶντες δὲ ἡμεῖς ἐν ἐπιτιμίοις. Μνήσθητι τῶν ἀπ' αἰῶνος οἰκτιρμῶν σε, καὶ τῆ ἐλέες σε. καὶ μὴ συγκαταδικάσῃς με ταῖς ἀνομίαις με, μηδὲ κατὰ τὰς ἁμαρτίας με ἀνταποδῷς μοι. Οἶδα τὸ πλῆθος τῶν ἀνομιῶν με, ὅτι πολὺ, καὶ ἀριθμῷ μὴ ὑποκείμενον· ἀλλ' οἶδα καὶ τὸ πέλαγος τῆς Φιλανθρωπίας σε, ὅτι, ἀνείκαστον, καὶ ἀνίκητον. Σὺ γὰρ εἶ ὁ αἴρων τὴν ἁμαρτίαν τῆ Κόσμε· ὁ ἀπὸ τῆ ὐρανῆ καταβὰς ἐπὶ τῆς γῆς τῆ ζητῆσαι τὸ πλανηθὲν πρόβατον, καὶ ἀπολωλός. Ὁ Ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ ἐλθὼν εἰς τὸν Κόσμον ἁμαρτωλὲς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.

Ἐλέησον, ἐλεῆμον, τὸ ποίημα τῶν χειρῶν σε. μὴ βδελύξῃ με τὸν ἀνάξιον· ἀλλ' οἰκτείρησον τὸ ποίημά σε. Ὁ δι' ἐμὲ σαυρὸν ὑπομείνας, καὶ τὰ τῶν μωλώπων καταδεξάμενος σίγματα, καὶ ἰασάμενος· ἐξάλειψόν με τὰ τραύματα, Φαρμάκῳ συμπαθείας, καὶ σπόγγῳ Φιλανθρωπίας. πᾶντα γάρ δύνασαι. ἄδυνατεῖ δέ σοι ὐδέν. κατάνυξόν με τὴν πεπωρωμένην καρδίαν. ἐλάφρυνον τὸ βάρος τῆ συνειδότος. Δέξαι με τὰ δάκρυα, καὶ τὸν ξεναγμὸν, ὡς τῆς Πόρνης, καὶ ὡς τῆ κορυφαίε τῶν Ἀποςόλων Πέτρε. δέξαι με τὴν μικρὰν ταύτην ἐξομολόγησιν, καὶ μετάνοιαν, ὁ προσδεξάμενος λῃςῆ τὴν εὐγνωμοσύνην ἐν τῷ σαυρῷ. δέξαι με τὸν ἀπὸ τῶν χειλέων καρπὸν, ὡς Θυσίαν ζῶσαν, εὐάρεσον, εἰς ὀσμὴν εὐωδίας.

Παρακαλῶ, παρακλήθητι. δυσωπῶ, δυσωπήθητι. ἥμαρτε καὶ Μανασσῆς ἐκεῖνος ὁ βασιλεύς· ἀλλ' οὐκ ἀπώλετο, μετανοήσας. ἥμαρτε καὶ Δαβὶδ πρὸ ἐκείνε· ἀλλὰ τὴν ἁμαρτίαν ἀποκλαυσάμενος, ἠλεήθη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θη. Πολλὰ ἔχω τοιαῦτα παραδείγματα, παρηγορῦντα, ἢ παραμυθούμενά με τὴν ἀθυμίαν, ἀποδιώκοντα τὴν ἀπόγνωσιν ἀπ' ἐμοῦ, ἢ τρέφοντα τὴν ἐλπίδα τῆς σωτηρίας μου. Παρακάλεσόν με ἢ σὺ τὴν καρδίαν, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, ἢ Θεὸς πάσης παρακλήσεως. Ψυχαγώγησον, ἢ ἀγάθυνον τῇ πηγῇ τῦ ἐλέους σου, ἢ τῶν ἀγαθῶν. Πολλὰ ἐποίησας ἀπὸ τῦ αἰῶνος μεγάλα, ἢ θαυμαστὰ, ἔνδοξά τε, ἢ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· ἀλλ' εἰ ἐμὲ τὸν ἄσωτον σώσεις, πλείω, ἢ μείζω θαυμασωθήσῃ. ὅτι τοσαύτη σου τῆς ἐλεημοσύνης, ἢ τῆς Φιλανθρωπίας ἡ δύναμις, ὥσε ἢ ἀπὸ βορβόρου μαργαρίτην ποιεῖν. ἢ ἐξ ὕδατος γεέννης ὑὸν βασιλείας ἀποτελεῖν.

Καὶ ἔτι κεκράξομαι πρὸς Κύριόν μου, ἢ πρὸς τὸν Θεόν μου δεηθήσομαι. Κυβέρνησον τὸ ὑπόλοιπόν μου τῆς ζωῆς κατὰ τὸ θέλημά σου. στήριξόν με εἰς τὸν Φόβον σου. στερέωσόν με ἐν τῇ ἀγάπῃ σου, ἢ ἐν τῷ πλήθει τῆς χρηστότητός σου. χρηστόν μοι τέλος, ἢ ἄξιον τῆς Φιλανθρωπίας σου δώρησαι, ἢ τὰ ὀσᾶ, ἢ τὰς ἁρμονίας μου, ἢ πᾶσαν τὴν σύνθεσιν τῆς ὑποσάσεώς μου, ἐν ἐλέει, ἢ Φιλανθρωπίᾳ ἔπιδε. ἢ εἰς ἀνέσεως, ἢ ἀναπαύσεως τόπον, τὴν ἀθλίαν μου ψυχὴν ὁδηγήσας ἀποκατάστησον. ὅτι πολλαὶ μοναὶ παρὰ σοὶ, ἑκάστῳ κατ' ἀξίαν διανεμόμενος.

Ἔτι δὲ δέομαι ἢ παρακαλῶ, δὸς δὴ Κύριε ἢ χάριν συνέσεώς τῇ ἐμῇ ἀναξιότητι, τὰ διανοεῖσθαι τὰ σοὶ εὐάρεστα, καμοὶ συμφέροντα. ἢ μὴ μόνον διανοεῖσθαι, ἀλλὰ ἢ διαπράττεσθαι τὸ μὴ συναρπάζεσθαι ἢ συναπάγεσθαι τοῖς ματαίοις. τὸ μὴ διαπράττεσθαι τὰ μὴ δέοντα. τὸ ἀκενωδόξως συνταπεινῦσθαι τοῖς ταπεινοῖς. ἢ τοῖς πάσχουσι συμπαθεῖν. ἢ τοῖς ἁμαρτάνουσι συγχωρεῖν. Οἶδα γὰρ, ὡς, εἰ μὴ ἀφήσω, οὐκ ἀφεθήσομαι. Διὰ τῦτο παρακαλῶ, συγχώρησον πάντα πᾶσι τοῖς ἁμαρτάνουσιν εἰς ἐμέ. ὃ γάρ εἰσιν ἕτοι αἴτιοι· ἀλλ' ἐγὼ ὁ ἄθλιος, ὁ μὴ ποιῶν τὸ θέλημά σου, ἢ μὴ φυλάσσων τὰ προσάγματά σου. Τοὺς δὲ ἀγαπῶντάς με, ἀντάμειψαι ταῖς πλουσίαις σου δωρεαῖς. Τοὺς δὲ πνευματικοὺς Πατέρας, ἢ τοὺς ἀδελφοὺς, οὓς σὺ δέδωκας εὐσπλαγχνε, κρίμασιν, οἷς ἐπίσασαι, σὺν ἐμοὶ φιλανθρώπως οἰκτειρήσας, ἐλέησον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ταῦτά μου τῆς Προσευχῆς τὰ ῥήματα ἔσωσαν Ὑπερεντυγχάνοντά μου, καὶ ζῶντος, καὶ θανόντος. Αὕτη ἡ ἐξομολόγησις, καὶ τὰ δάκρυα, ὡς θυμίαμα ἐνώπιόν σου κατευθυνθήτωσαν· ἐγὼ δὲ καθ' ἑκάστην ἀναμένω τὸ θανάτου τὸ ἀπαραίτητον. καὶ τὸ μὲν σῶμά μου τὸ ἄθλιον, ταφῇ παραδοθὲν, διαφθαρήσεται· ὅπερ ἀναστήσεις ὁ ζωοδότης ἄφθαρτον, ἐν τῷ τῆς παλιγγενεσίας καιρῷ· τὸ δὲ Πνεῦμά μου εἰς χεῖράς σου παρατίθημι. Ἀνάπαυσον, ἅγιε Δέσποτα, ἐν φωτὶ ζώντων, καὶ ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων τοὺς ἐμοὺς γεννήτορας, προγόνους τε καὶ ἀδελφούς· σοὺς δὲ οἰκέτας εὐγνώμονας, καὶ τοὺς ὑπειλαμένους ἐμοὶ τῷ ἀναξίῳ, εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ πᾶσι τοῖς ἐν εὐσεβείᾳ τελειωθεῖσι συγχώρησον. Ὅτι, εἰ καὶ ἡμάρτομεν, ἀλλ' οὐκ ἀπέσημεν ἀπὸ σοῦ· οὐδὲ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον· ἀλλὰ σὲ ἔγνωμεν· καὶ σὲ ἠγαπήσαμεν· καὶ εἰς σὲ πεπιστεύκαμεν· καὶ σὲ προσκυνοῦμεν τὸν ἕνα ἐν Τριάδι Θεόν· ἐν σοὶ προσευχώμεθα· καὶ ἐν σοὶ τὰς τῆς σωτηρίας ἀναρτῶμεν ἐλπίδας· Ἐλέησον ἡμᾶς κατὰ τὸ μέγα σου ἔλεος, καὶ σῶσον εἰς τὴν ἐπουράνιόν σου βασιλείαν.

Ναὶ δὴ Κύριέ μου Κύριε· οὕτω γένεσθω ταῦτα ἐν ἡμῖν τοῖς ἐλπίζουσιν ἐπὶ σέ, διὰ τὴν πολλήν σου, καὶ ἀνυπέρβλητον ἀγαθότητα, καὶ διὰ τὴν ἄφατόν σου εὐσπλαγχνίαν, καὶ φιλανθρωπίαν. Πρεσβείαις τῆς παναοιδόξου, πανυμνήτου, Ὑπερευλογημένης, καὶ κεχαριτωμένης, Ὑπεραγίας, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας· Τῶν ἐπουρανίων, καὶ νοερῶν Δυνάμεων· καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων Ἁγίων· Ἀμήν. Ἀμήν. Ἀμήν.

Εὐχὴ Β'. εἰς τὴν Παντοβασίλισσαν Θεοτόκον Καλλίσου Μοναχοῦ.

Φιλάνθρωπε, φιλάγαθε, φιλεύσπλαγχνε, Παρθενομήτορ, Θεόνυμφε Δέσποινα, καὶ Κυρία ὁρατῆς τε, καὶ νοουμένης κτίσεως πάσης· ὡς τὸν Ποιητὴν τούτων καὶ Δεσπότην ἀφράστως γεννήσασα, καὶ παῤῥησίαν διὰ τοῦτο ἀνείκαστον πρὸς αὐτὸν ἔχουσα· Ἐπίβλεψον εὐμενῶς ἐπ' ἐμὲ τὸν ταλαίπωρον, καὶ ἀνάξιον δοῦλόν σου τὸν ἀεὶ

ἀεὶ ἐν ἀμελείᾳ, ἢ ῥᾳθυμίᾳ βιῶντα, ἢ ταῖς ἡδοναῖς δελεαζόμενον ἢ καταστιλβόμενον, ἢ διὰ παντὸς μέλος μολυνόμενον, δι' ὁράσεως, δι' ἀκοῆς, διὰ γλώττης, δι' ἁφῆς, δι' ὀσφρήσεως, ἢ ἁπλῶς εἰπεῖν, ὅλως ὅλον ὁμῶ ἁμαρτιαν γενόμενον, ἢ μηδὲν ὑγιὲς ὑπόλοιπον ἔχοντα. Ἅπαξ γὰρ ὑπὸ τῆς ἁμαρτιας νικηθεὶς, ἄγομαι πρὸς ὅπερ ἂν αὐτη βέλῃται. λοιπὸν, μεγάλης μοι βοηθείας χρεία, ἣ ἐκ ἔστιν ἐν πάσῃ τῇ κτίσει, πλὴν σῶ τῆς Παντοδυνάμε.

Δι' ὃ μή με παρίδῃς Πανάχραντε. Πᾶντες γὰρ παρεῖδον, ἢ παρῆλθόν με, ὁρῶντες μὲ τὸ ἀνίατον· Προφῆται, Ἀπόστολοι, Διδάσκαλοι, Δίκαιοι, Θεῖοι Πατέρες, ἢ ὑπελείφθην μόνος, ὡς νεκρὸς ἐν τάφῳ, ἐν σκοτεινοῖς, ἢ ἐν σκιᾷ θανάτε. ἢ ὁ βοηθήσων μοι τοπαράπαν ἐδεὶς. ἔχων δὲ μικρὸν ἔτι ζωῆς λειψανον, μικρᾷ βοῇ βοῶ πρὸς σὲ, παναύμνητε Θεοτόκε, τὴν πᾶντα δυναμενην, τὴν παντα ἀνύσαν. Καὶ γὰρ, οἷάπερ θέλεις, ἢ βέλει, τὰ αὐτὰ ἢ ὁ σὸς Υἱὸς βέλεται. σὺ γὰρ Παντάνασσα, τὴν αὐτῶ πεῖναν ἢ δίψαν πληροῖς, ἥτις ἐστιν ἡ τῶν βροτῶν σωτηρία. ἢ εἰς τοῦτο κατεσκευασε σε Μητέρα αὐτῶ, εἰς τὸ τελεῖν τὰ καταθύμια αὐτῶ. χαίρει γὰρ ἢ ἀγαλλεται, ἡνίκα αἰτεῖς ὑπὲρ τῶν καταπονεμένων ἀνακλησιν· μαλιστα δὲ ὑπὲρ ἐμῦ, τῶ ὁλόσωμον ἐπιφερομένε πληγήν.

Ἐπίσκεψαί με τὴν ἀσθένειαν, εὐλογημένη. Θεράπευσόν με τὰς πληγὰς, δεδοξασμένη. ἴδε τὴν κάκωσιν τῆς ψυχῆς με, ἡ κεχαριτωμένη. ἐν ἀπογνώσει συνέχομαι, ἢ παραβραχὺ τῷ ᾅδῃ ἡ ψυχή με κατέρχεται, εἰ μὴ σὺ, Δέσποινα, βοηθήσεις μοι. ἔχεις τὴν εὐσπλαγχνίαν, ἔχεις τὴν φιλανθρωπίαν. Ὅθεν μὴ παρίδῃς με τὴν οἰκτρὰν ταύτην δέησιν, τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι, ἀλλὰ πάρεσό μοι ἀεὶ ἐπικαλυμένῳ σε, ἢ γενῦ μοι παρηγορία, ἀμόλυντε. γενῦ μοι παραμυθία, ἀκήρατε. γενῦ μοι γαλήνη, γαληνοτάτη. γενῦ μοι κάλλος, τῦ ἐρανίε Πατρὸς παγκαλε νύμφη. γενῦ μοι ὡραϊσμα, πάντων ἡ ὡραιοτης. γενῦ μοι φρουρὸς, φύλαξ, προστάτις, καταφυγὴ, βοηθὸς, σκέπη ἐν παντὶ καιρῷ, ἢ τοπῳ, ἐν ἡμέρᾳ, ἐν νυκτὶ, κοιταζομένῳ, ἀνισταμένῳ, περιπατοῦντι. ἐν πάσῃ με τῇ ζωῇ ἀδιαστάτως μοι σύνεσο, δύνασαι γὰρ, ἀδυνατεῖ δέ σοι ἐδέν.

Τὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὰς τῶν ἐναντίων ἐφόδες, ἡ ὁρμὰς διασκέδασον, ἡ ἀφάνισον ἐξ ἐμῦ Παναγία. ἐν τῇ ἐξόδῳ, τῆς ταλαιπώρε μυ ψυχῆς, πρόσεθι, ἡ τῆς ἀπαραιτήτε, ἡ Φοβερᾶς καταδυνασείας τῶν πονηρῶν Δαιμόνων ἀπάλλαξόν με. Μὴ ἐάσῃς Δέσποινά μυ Θεοτόκε, ἐπ' ἐμοὶ τέτες χαρῆναι. ἀλλ' ὁ σὸς Υἱὸς μᾶλλον, ἡ οἱ ἅγιοι Ἄγγελοι, ἐπὶ τῇ ἐμῇ σωτηρίᾳ χαρήτωσαν. οἱ δὲ αὐτῦ, ἡ τῦ αὐτῦ πλάσματος ἐχθροὶ κενοῖς ταῖς ἐλπίσιν εὐφραινέσθωσαν. Ἐν δὲ τῇ πανδήμῳ, ἡ Φοβερᾷ τῆς παγκοσμίε κρίσεως ἡμέρᾳ, τῆς αἰωνίε ῥῦσαί με κολάσεως, ἡ τῆς ἀπορρήτε δόξης τῦ σῦ Υἱῦ ἡ Θεῦ, κληρονόμον με ἀνάδειξον. Ναὶ πολυεύσπλαγχνε Μαρία Θεόνυμφε ἵνα ὑμνῶ εὐλογῶ, ἡ μεγαλύνω, Σὲ τὴν ἐπέκεινα πάντων τῶν ἀρχαγγελικῶν στρατευμάτων, τὴν τιμιωτέραν τῶν Χερυβίμ. τὴν ἐνδοξοτέραν τῶς Σεραφίμ. τὴν τῦ Θεῦ ἀγνὴν Μητέρα, καὶ μῦ βεβαίαν ἐλπίδα. νῦν, ἡ ἀεὶ, ἡ εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Α'. εἰς τὸ ὁμοούσιον, ἡ ὁμόθρονον τῷ Πατρὶ, ἡ τῷ Υἱῷ, Πνεῦμα ἅγιον. Συμεὼν τῦ Νέε Θεολόγε.

ΛΘὲ ἡ εὐφρόσυνος ζωὴ, ἡ αἰώνιος, ἡ παντοκρατορικὴ δε ξιὰ. τὸ Πανάγιον, ἡ ζωοποιὸν, ἡ δημιεργὸν Πνεῦμα. τὸ ἐν ἐξεσίας ὁμοτιμία ὂν τῦ Πατρὸς, ἡ τῦ Υἱῦ. ὢν ἡ ἐν τρισὶ Προσώποις ταυτότης τῆς ἀξίας, ἡ τῆς Θεότητος, γνώμης τε σύμπνοια, ἡ πρὸς τὸ ἓν σύνευσις. Ἐλθὲ Κύριέ μυ, ὃν ἐπόθησε, ἡ ποθεῖ ἡ ταλαίπωρός μυ ψυχή. ἐλθὲ, ὁ γενόμανος πόθος αὐτὸς ἐν ἐμοὶ, ἡ ποιήσας με ποθεῖν σε τὸν ἀπρόσιτον παντελῶς. Ἐλθὲ, ἡ διηνεκής μυ χαρὰ, ἡ τρυφὴ, ἡ δόξα. Ἐλθέ, ἡ πνοή μυ, ἡ ζωή μυ, ἡ παραμυθία τῆς ἐμῆς ψυχῆς. Γενῦ μετ ἐμῦ ἓν Πνεῦμα, ὑπεράγαθε Δέσποτα, ἀσυγχύτως, ἀτρέπτως, ἀναλλοιώτως, ὁ ἐπὶ πάντων Θεός. Γενῦ μοι αὐτὸς τὰ πάντα ἐν πᾶσι, τροφὴ ἀνεκλάλητος, ἡ εἰσάπαν ἀδαπανος, ἀσυνάφως ὑπερεκχεομένη τοῖς τῆς ἐμῆς ψυχῆς χείλεσι, ἡ ὑπερεκβλύζεσα ἐν τῇ πηγῇ τῆς καρδίας μυ. ἔνδυμα ἀπαστράπτον, ἡ καταφλέγον τὲς Δαίμονας. Κάθαρσις ἐκπλύνεσά με, δι' ἀφθάρτων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των, ἢ ἁγίων δακρύων, ὧν ἡ σὴ παρουσία, πρὸς ἃς παραγίνῃ, χαρίζεται. Γενοῦ μοι Κύριε Φῶς ἀνέσπερον ἢ ἥλιος ἄδυτος ὁ παντὶ λαμπρύνων με τόπῳ, ὁ μηδένα τῶν πάντων ἀποστρεφόμενος. ἵνα μὴ καλυφθῶμεν τῷ σκότει τῶν ἁμαρτιῶν ἡμῶν, ἐλθεῖν πρὸς σὲ μὴ βουλόμενοι. Ἀπόκρισον ἀπ' ἐμοῦ Κύριε, πᾶντα ὀλέθριον μετεωρισμὸν, ἢ δίδεμοι σωφρονισμὸν ὀφθαλμῶν. ἐπίθες τῇ γλώσσῃ μου χαλινὸν. παράσκησον τὰς ἀκοάς μου εὐπειθεῖς τοῖς ἁγίοις σου ἐντάλμασι. παράσχου μοι ὑπομονὴν ἐν ταῖς θλίψεσι. συνετισον ἢ στήριξον τὴν καρδίαν μου ἐν μακροθυμίᾳ, ἐν ἀκακίᾳ, ἐν ἐγκρατείᾳ, ἐν συμπαθείᾳ, ἐν ἐλεημοσύνῃ, ἐν ἀγάπῃ, ἐν ταπεινοφροσύνῃ, ἐν εἰρήνῃ, πρὸς ἐμαυτόν τε ἢ πάντας, ἐν ἀποστροφῇ τῆς τῶν Δαιμόνων νωθρείας, ἢ ῥαθυμίας, αἷς ὡς ἡδύσμασιν ἐνετρύφων. Δός μοι διάκρισιν δόκιμον ἐν τοῖς λογισμοῖς, ποίας ποίων δεῖ προτιμᾶν. δος μοι ἐπιγινώσκειν τὰς μεθοδείας τοῦ Διαβόλου, ἢ ταύτας σὺν αὐτῷ ἀποδοκιμάζειν. παντάπασι δὲ ἀποκόπτειν τὸ οἰκεῖον θέλημα, ἢ ἐξαναρτᾶν τὰ κατ' ἐμαυτὸν τῆς σῆς Προνοίας, κἀκεῖθεν τὸ συμφέρον ἐλπίζειν. Ὅτι παρὰ σοὶ ἐστὶν ἡ ζωή μου, τὸ Φῶς μου, ἡ σωτηρία μου. Καὶ σὲ εὐλογῶ, ἢ δοξάζω, ἢ προσκυνῶ, σὺν τῷ ἀναρχῳ Προβολεῖ σου Πατρὶ, ἢ τῷ συναϊδίῳ, ἢ συμφυεῖ σου αὐτοῦ Υἱῷ. πάντοτε, νῦν, ἢ ἀεὶ, ἢ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Φιλοθέου τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Εὐχὴ Γ'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον. ἀναγινωσκομένη ἐν τῷ καιρῷ μαλιστα τῆς μεταλήψεως τῶν θείων μυστηρίων.

Ἄχραντε ὡς ἀληθῶς, ἢ Ὑπεραγνε Παρθένε, ἢ Θεοτόκε· τὸ φρικτὸν μὲν, Ἀγγέλοις, τοῖς βροτοῖς δὲ ἀνερμήνευτον θαῦμα. μᾶλλον δὲ κἀκείνοις, ἢ τούτοις, φρικῶδες ὄντως ἢ ἀκατάληπτον. ἡ ἀπαρχὴ τοῦ γένους ἡμῶν. τὸ τῆς Θεότητος ὑπέραγνον δοχεῖον. τὸ ἐργαστήριον τῆς σωτηρίας ἡμῶν. ἡ τὸν ἕνα τῆς Τριάδος, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τέλειον Θεὸν ὄντα, ἢ τέλειον ἄνθρωπον, ὑπὲρ πᾶντα νοῦν, ἢ λόγον δι' ἄκραν ἀγαθότητα, προαγα-

αγαγῆσα ἡμῖν· ὅπως τῷ ἀνθρωπίνῳ Φυράματι, τῆ παλαιᾶ πτώματος τὴν Φύσιν ἡμῶν ἀνασώσηται, ἢ πρὸς τὸ ἀρχαῖον αὖθις ἐπαναγάγῃ ἀξίωμα. Ἡ ἐπανόρθωσις τῶν καταπιπτόντων, ἢ μετὰ τὴν σωτήριον ταύτην τῆ Θεῆ λόγε οἰκονομίαν. ἡ ἢ ἐμὲ τὸν πάσης ἀντιλήψεως, ἢ προνοίας ἀνάξιον, ὡς αὐθαιρέτῳ γνώμῃ διαπαντὸς ἁμαρτάνοντα, ἐν παντὶ καιρῷ, ἢ τόπῳ, ἢ πράγματι, ὑπερβολῇ προμηθείας πλείσων ὅσων ῥυομένη κινδύνων.

Ἔπιδε ἢ νῦν ἐπὶ τὴν ἐμὴν ἀθλιότητα, ἢ συνήθως ἐπίσκεψαι, συνέχομαι γὰρ, ἢ ἐκ ἔχω τίς γένωμαι. ἂν πρὸς τὸ πλῆθος ἀπίδω τῶν ἀμετρήτων με κακῶν, πόῤῥω τῶν Φρικτῶν μυσηρίων ἐμαυτὸν συνορῶ, ἢ ὅλως ἀνάξιον. ἂν τέτοις ἐπιπολὺ μὴ προσέλθω, ὡς εἰς κρίμα μεταλημψόμενος, ὑποχείριος ὅλος τῷ ἐχθρῷ γίνομαι. Δι' ὃ τῷ πελάγει τῶν ἀνεξιχνιάστων οἰκτιρμῶν τῆ σῆ Υἱῆ ἢ Θεῆ, τὸ ἄπειρον πλῆθος τῶν ἐμῶν ἀνομιῶν ἐπιῤῥίψας, ἢ σὲ κραταιὰν προβαλλόμενος μεσίτην, θαῤῥήσας ἤδη προσέρχομαι. χρῆσαι ἓν τῇ μητρικῇ σε παῤῥησίᾳ πρὸς αὐτὸν, Πανάχραντε Δέσποινα, ἢ ἵλεών μοι τέτον ἀπέργασαι, δέομαι.

Ναὶ πρόσηθί μοι, Πάναγνε, ἢ μή με βδελύξῃ, τὸν πολλαῖς ἁμαρτίαις συσχεθέντα· τὸν ἢ πράξεσι, ἢ λόγοις, ἢ διανοίας κινήμασι, ἢ μυρίοις ἐπιτηδεύμασί τε ἢ σχήμασι, ἢ περιπεποιημένοις δαιμονιώδεσιν ὑποκρίσεσι, διὰ πασῶν τῶν αἰσθήσεων ἐμαυτὸν καταχράναντα. Φάνηθί μοι συνεργὸς καὶν τῇ ὥρᾳ ταύτῃ, ἢ δυσώπησον τὸν εὐδιάλλακτον, ἢ ἀνεξίκακον Κύριον· ἵνα μὴ, ἀτωσάμενος, τῆς αὐτῆ με χάριτος κενὸν ἀποδείξῃ· ἀλλὰ τὰ πολλά με παριδὼν πταίσματα, διὰ τῆς ἁγίας αὐτῆ σαρκὸς, ἢ τῆ τιμίᾳ, ἢ ζωοποιῆ αἵματος, ἁγιάσῃ, Φωτίσῃ, σώσῃ, ἢ ἰὸν Φωτὸς ἀπεργάσηται· πρὸς μὲν τὰς ἁγίας αὐτῆ ἐντολὰς, πορευόμενον, ἢ κατευθυνόμενον· πρὸς δὲ τὴν ἁμαρτίαν, μὴ ἢ αὖθις ἐπιστρέφοντα, ἢ καταῤῥυπόμενον. Ὅπως ἀκαταχρίτως ἐν μετοχῇ τῆς ἀχράντε, ἢ Φρικτῆς δωρεᾶς γενόμενος, ἢ τῆς μελλόσης, ἢ τελεωτέρας τὰς ἀῤῥαβῶνας ἐντεῦθεν δεχόμενος· ἀπαλλαγείην μὲν, τῶν αἰωνίων κολάσεων, τύχοιμι δὲ, τῆς αἰωνίε ζωῆς, διὰ σῆ τῆς βεβαίας ἐλπίδος με ἢ προσῤῥάτδος· δοξάζων,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζων, ἡ μεγαλύνων Πατέρα, Υἱὸν, ἡ ἅγιον Πνεῦμα, τὴν παναγίαν, ἡ μακαρίαν Τριάδα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Α'. Εἰς τὴν παναγίαν, ἡ Ὁμοούσιον Τριάδα, τοῦ προερρηθέντος Ἰωάννου Διακόνου τοῦ Εὐγενικοῦ.

Ὁ ἐν προσκυνητῇ Τριάδι δοξαζόμενος εἷς Θεὸς, ὁ Πατὴρ, ὁ Υἱὸς, ἡ τὸ Πνεῦμα τὸ ἅγιον. Ἡ μακαρία Φύσις. ἡ ὑπερούσιος οὐσία. ἡ ἄμετρος ἀγαθότης. ὁ ἀκένωτος τῶν καλῶν θησαυρὸς. ἡ ἄπειρος τῆς εὐσπλαγχνίας ἄβυσσος. τὸ τῆς Φιλανθρωπίας ἀνεκδιήγητον πέλαγος. ἡ παναγία, ἡ ζωαρχικὴ Τριὰς. ἡ τὴν ὑπερκόσμιον ἅπασαν, ἡ τὴν ἐγκόσμιον κτίσιν, διὰ μόνην ἀγαθότητα, ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγοῦσα. ἡ προμηθουμένη. ἡ συνέχουσα. ἡ τῆς πλάνης τὸν Κόσμον ἐλευθερώσασα, Θεοῦ Πατρὸς εὐδοκία, ἡ αὐτουργία τοῦ λόγου, ἡ ἐπελεύσει Πνεύματος ἁγίου· ἡ τὴν Φύσιν ἡμῶν τῆς ἁμαρτίας λυτρωσαμένη· Σύ με φώτισον, ὁ ὑπερφωτος Θεός· σύ με ἁγίασον ὁ ὑπεράγιος Κύριος. σύ με κάθαρον ὁ μόνος καθαρὸς, ἡ ἀκήρατος. Ἀγάθυνόν με, Θεοῦ τρισυπόστατε, ὁ μόνος ἀγαθὸς, ἡ ὑπεράγαθος. θεοποίησόν με χάριτί σου κατὰ μέθεξιν, ὁ μόνος ἀληθινὸς Θεός. ἐνδυνάμωσόν με ὁ ἰσχυρός. ζωοποίησόν με, ὁ ζῶν ἡ ἀθάνατος. σόφισόν με ὁ ὑπερσοφος. εἰς ἔνθεον ἔρωτα τῆς σῆς ἀγάπης με πτέρωσον. οἰκείωσόν με σαυτῷ, Θεοῦ ὑπερούσιε, ὑπέρζωε, ἡ ὑπερφωτε ἡ μὴ ἀποξενώσῃς με τῆς σῆς χρηστότητος, διὰ τὴν ἐμὴν ἀναξιότητα.

Εὐχαριστῶ σοι Δέσποτα Θεοῦ Παντοδύναμε, ὅτι ἐκ τοῦ μὴ ὄντος, εἰς τὸ εἶναί με παρήγαγες. ὅτι ἔπλασάς με, ἡ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. ὅτι ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ ὅτι κατ' εἰκόνα σὴν, ἡ ὁμοίωσίν με ἐποίησας. ὅτι τὴν εὐσέβειαν ἐδωρήσω μοι. ὅτι τοῖς μυστηρίοις τῆς Ἐκκλησίας με ἡγίασας. ὅτι τρεφεῖς με ἐκ νεότητος πασὶ τοῖς ἀγαθοῖς σου. ὁ ἀνοίγων τὴν χεῖρα, ἡ ἐμπιπλῶν παν ζῶον εὐδοκίας. Σὺ γὰρ εἶ Θεὸς, ἡ πηγὴ τῶν ἀγαθῶν, ἡ ἀρχὴ, ἡ τὸ τέλος πάντων. Σὺ Κύριε εἶ, ἡ Δεσπότης τῶν ψυχῶν, ἡ τῶν σωμάτων ἡ-

των ἡμῶν. ζωῆς τε, καὶ θανάτου· καὶ ἡ πνοὴ πάντων ἐν τῇ χειρί σου. εὐφραίνεις εὐεργετῶν, καὶ σωφρονίζεις, νουθετῶν. ἐπισύφων λυπεῖς, ὡς σοφὸς ἰατρός· ἀλλὰ θεραπεύεις ὡς θαυμασὸς οἰκονόμος. παιδεύεις πατρικῶς, καὶ παρηγορεῖς αὖθις ἱλαρῶς, ἀναπαλάμενος τὸ ἡμέτερον ῥάθυμον. Δόξα τῇ ποικίλῃ σοφίᾳ σου. Δόξα τῇ ἀῤῥήτῳ Προνοίᾳ, καὶ δυνάμει σου. Δόξα τῇ ἀπείρῳ Φιλανθρωπίᾳ σου.

Ῥῦσαι ἡμᾶς ἀπὸ πάντων ἐχθρῶν, ὁρωμένων τε, καὶ ἀοράτων. λύτρωσαι ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ. ὄρεξον χεῖρα ἀγαθὴν, βοηθὸν, κραταιὰν, ἐξέλκυσαν ἡμᾶς τῶν βαθέων ὑδάτων, τῶν τοῦ Κόσμου τριχυμιῶν, καὶ τοῦ βυθοῦ τῆς δεινῆς ἀπογνώσεως. Κυβέρνησον ἡμῶν τὴν ζωὴν, ὁ μέγας, καὶ θαυμασὸς Οἰκονόμος. καὶ ὁδηγός. Γενέσθω τὸ σὸν πανάγαθε, θέλημα καὶ ἐφ' ἡμῖν, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς. Παραμύθησαί μου τὴν καρδίαν τῇ ἀῤῥήτῳ σου γλυκύτητι, ἡ ξένη τῶν Ἀγγέλων χαρμονή, ἀνακαθισάτω μου τὴν ψυχὴν ἡ κατανόησις τῆς μελλούσης αἰδίου σοὶ χαρᾶς, καὶ τρυφῆς. Ἀξίωσόν με καὶ νῦν, καὶ μετὰ τὴν παροῦσαν ζωὴν, συνεῖναι σοι τῷ Κυρίῳ, καὶ Θεῷ μου, τοῦ ὁρᾶν τὸν πλοῦτον τῆς χρηστότητός σου, καὶ ἀπολαύειν τῆς βασιλείας σου, καὶ ἐμφορεισθαι τῶν ἀγαθῶν σου, καὶ κατανοεῖν τὸ πρόσωπόν σου διαπαντός.

Ναὶ, βασιλεῦ ἅγιε· Θεὲ Τρισυπόστατε, ἀληθινέ. Ποιητά μου καὶ Δημιουργὲ τοῦ Παντός· Διὰ πρεσβειῶν τῆς Ὑπεραγίας Θεοτόκου, τῶν ἁγίων θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων. Σὺ γὰρ εἶ ἡ ἀρχὴ, καὶ ἡ πηγὴ παντὸς τελείου δωρήματος, καὶ πάσης δόσεως ἀγαθῆς, ὁ ἄναρχος Νοῦς, ὁ τῶν Φώτων Πατήρ. Καὶ σὺ εἶ ὁ Φιλάνθρωπος λόγος, ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος ὁ τὸν Κόσμον, καὶ τὸ ἀνθρώπινον γένος ἐλευθερώσας ἐκ τῆς ἐπιβουλῆς τοῦ ἀντικειμένου. Καὶ σὺ εἶ ὁ Παράκλητος Θεὸς, τὸ Πνεῦμα τὸ ἅγιον· παρ' οὗ πᾶσα ἐπὶ τὴν Κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει. Σοὶ οὖν τῷ ὢν Τρισὶ προσκυνηταῖς Ὑποστάσεσιν ὑμνουμένῳ ἑνὶ Θεῷ, τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ

Εὐχὴ Δ'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον Κυρίλλε Κωνσταντινουπόλεως τοῦ Γεροντος.

Παναγία Δέσποινα Θεοτόκε, ἡ τεκοῦσα τὸν Σωτῆρα, καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἡ θέλουσα καὶ ποθοῦσα πάντας ἀνθρώπους, εἰς τὴν τοῦ μονογενοῦς σου Υἱοῦ δόξαν εἰσελθόντας, ἰδεῖν σε τὸ προεκλελεγμένον, πρὸ καταβολῆς κόσμου, ὄργανον τῆς σωτηρίας τοῦ γένους ἡμῶν. ὁ ἀχρεῖος ἐγὼ καὶ ἀκάθαρτος δοῦλός σου, δυσωπῶ σὲ τὴν τοῦ ἡλίου καθαρωτέραν, καὶ τῶν Ἀγγέλων τιμιωτέραν. Δέξαι τὴν δέησίν μου καὶ μὴ ἀπώσῃ με. αἰτῶ γὰρ παρὰ τῆς σῆς εὐσπλάγχνου καὶ Φιλανθρώπου γνώμης καὶ διαθέσεως· δεήθηναι τοῦ Υἱοῦ σου τοῦ ἐλεήμονος, ὡς ἔχουσαν παρρησίαν, ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· ἵνα μου εἰσακούσῃ τῆς μετὰ συντριβῆς καὶ ταπεινώσεως γενομένης ὑπαρᾶς προσευχῆς· καὶ μὴ ἐξουδενώσῃ αὐτὴν ἐκ καρδίας ἐβδελυγμένης ἐξερχομένην. ἀλλ' ὡς οἰκτίρμων καὶ πολυέλεος, διὰ τῆς σῆς πρεσβείας τῆς παναχράντου Μητρὸς αὐτοῦ, ἐπικαμφθῇ, καὶ ἐπ' ἐμὲ ἐπιβλέψας, ἐλεήσῃ με, καὶ συγχωρήσῃ μοι πάντα τὰ ἁμαρτήματά μου, ὅσα ὠλόθυμον τῷ βίῳ μου παρέβην. Οὕτω ποίησον, Κυρία μου παναγία Παρθένε. Ἐγὼ δέ σοι χρεώστης ἔσομαι, ἀσιγήτως κηρύττων τὰ μεγαλεῖά σου, καὶ τὴν ἄφατόν σου χάριν. Ὅτι εὐλογημένη, καὶ κεχαριτωμένη ὑπάρχεις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙΟΔΟΣ Β'.

Εὐχὴ Β'. ἐξομολογητικὴ εἰς τὸν Φιλάνθρωπον Θεὸν καὶ Πατέρα (1) Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου.

Ἐξομολογοῦμαί σοι Πάτερ, Κύριε, Ποιητὰ οὐρανοῦ καὶ γῆς, εὔσπαγχνε, μακρόθυμε, Φιλάνθρωπε, ὑπεράγαθε, ἀνεξίκακε, πολυέλεε, Φιλάγαθε, εὐσυμπάθητε, οἰκτίρμον, καὶ ἐλεήμον Θεέ. Σὺ οἶδας, σὺ γινώσκεις τὴν ἡμετέραν ἀσθένειαν, καὶ μᾶλλον

(1) Ἐν ἄλλαις ἡ εὐχὴ αὕτη εὑρηται ἀναπεμπομένη πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λον ἐμὲ τὸ ἁμαρτωλὸν, καὶ ἀνοίξας τὸν ἀέρα, καὶ τῆς γῆς· ὅτι εἰμὶ ὅλος ῥύπος, καὶ μιάσμα· παραβαίνω καθ' ἡμέραν καὶ ὥραν τὰς ἁγίας σὲ ἐντολὰς, καὶ τὰ θεῖά σε παραγγέλματα. Καὶ πρὸ τοῦ ἀδεκάστε, καὶ φοβεροῦ σε βήματος, τὸ συνειδός με ἐλέγχει, ὅτι ἐκ ἔστιν ἁμαρτία, ἣν ἐκ ἐποίησα, ἐν λόγῳ, ἐν πράξει, ἐν διανοίας μελέτῃ, ἐν τῷ ἔργῳ θεωρίᾳ, διὰ πασῶν μου τῶν αἰσθήσεων. Καὶ ἁπλῶς εἰπεῖν, τὸν ὅλον μου βίον κατεδαπάνησα, αἰσχρῶς, καὶ ἀσώτως διάγων. Τί γάρ ἐστι τῶν ἐν τῷ βίῳ δεινῶν, ὃ διὰ πάντων ἐκ ἔπραξα τῶν μελῶν;

Ὦ τῆς σῆς εὐσπλαγχνίας, καὶ ἀγαθότητος καὶ τῆς ἐμῆς ἀγνωμοσύνης, καὶ ἀθλιότητος. Σὺ γάρ με ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγες· καὶ πᾶσαν τὴν κτίσιν ταύτην, τὴν περικαλλῆ, καὶ παναρμόνιον καθυπετάξω μοι Πανάγαθε, καὶ τῇ σῇ σεβασμίᾳ Εἰκόνι, καὶ ὁμοιώσει με τετίμηκας· ἐγὼ δὲ ἀγνώμων περὶ τὸν εὐεργέτην φανεὶς, ὁ ἄνους, καὶ ἀφρονέστατος, ὑπὲρ τὸ μέτρον τὰ φιλάνθρωπα σπλάγχνα σε παρελύπησα. Ἀλλ' ἐπεὶ ἀπείρων σε τὸ ἔλεος, καὶ ἡ ἀγαθότης ἀνεξιχνίαστος, καὶ ἡ πρὸς τοὺς ἁμαρτωλοὺς ἀνοχὴ, καὶ μακροθυμία ἀνείκαστος· ὥσπερ ἠνέσχου μοι μέχρι τῆς σήμερον· οὕτω καὶ ἕως τέλους μή με ἀπώσῃ, μηδὲ βδελύξῃ με.

Σὺ γὰρ εἶ ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν τῶν πεπραγμένων ἐλθεῖν· δι' ὃς καὶ ὁ μονογενής σε Υἱὸς, ὁ Κύριος ἡμῶν καὶ Θεὸς, δι' ἄφατον ἔλεος εὐδοκίας σου, κλίνας τοὺς οὐρανοὺς κατέβη, καὶ παρθενικὴν ὑπέδυ νηδύν, καὶ ῥάπισμα κατεδέξατο, καὶ σταυρὸν ἤνεγκε, καὶ ταφῆς ἠνέσχετο. Ἐγὼ τοίνυν ὑπὲρ ἅπαντας ἥμαρτον, καὶ πάντας ὑπερέβην τοὺς ἀνομίας. διὸ ἐμὲ ἐν τὸ πλέον γεγένηται. Ὅθεν καὶ ἐν ἐμοὶ γαύσθω σε τὸ ἔλεος θαυμαστόν. ὑπὲρ γὰρ ἁμαρτωλῶν ἡ εὐδοκία σου, καὶ ἡ οἰκονομία, καὶ ἀῤῥήτως τοῦ μονογενοῦς σου Υἱοῦ συγκατάβασις.

Μὴ τοίνυν κρύψῃς κατὰ πρόσωπόν μου τὰς ἁμαρτίας μου, ἃς ἔπραξα ἐν ἔργῳ ἐν λόγῳ, ἐν διανοίᾳ, ἐν ἐνθυμήσει, ἐν νυκτὶ καὶ ἡμέρᾳ. ἑκουσίως καὶ ἀκουσίως. ἐκ συναρπαγῆς, καὶ μελέτης. ἐμφανῶς, καὶ ἀφανῶς, ἐκ συνηθείας πικρᾶς, καὶ χρονίας. ἐν πάσῃ ἡμέρᾳ τε, καὶ ὥρᾳ, καὶ σιγῇ, καὶ ὄψει. Καὶ ἁπλῶς εἰπεῖν, ἐν πάσῃ κινήσει καὶ διαθέσει μου, σωμα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σωματικῇ, ψυχικῇτε, καὶ νοερᾷ. Οἶδας Κύριε, ὅτι οὐκ ἔστιν ἐπὶ τῆς γῆς ἄλλος ὡς ἐγὼ ὁ ἁμαρτίας, καὶ ἀσωτίας καὶ αἰσχρεργίας ἐγκαυτηδεμένος. καὶ οὐκ ἔστιν ἕτερόν τινα εὑρεῖν, κατὰ τὰ ἐμὰ ἔργα, πολλατεμαρτικὸν τὰφ' ἧδε τὸ πᾶν παρήγαγες. καὶ ἐκ τοῦ μὴ ὄντος συνέστησας τῷ σῷ τῆς ἐξουσίας θελήματι. ἐγὼ γὰρ γέγονα ταῖς κακίαις, καὶ πονηρίαις, τῷ ἀρχεκάκῳ Σατὰν παρόμοιος. καὶ θαυμάζω πῶς ἡ γῆ με βαστάζει. καὶ οὐ καταπίνει με, τοσάκις παρανομοῦντα. καὶ ἀθετοῦντα τὰ ἅγιά σε προστάγματα. ὑπὲρ τοὺς Προπάτορας παρέβην τὰς ἀθανάτους σου ἀγίας σε ἐντολὰς, καὶ τῆς συφῆς τοῦ Παραδείσε ἐμαυτὸν ἐξένωσα. ἀδελφοκτόνος ἐγενόμην ὑπὲρ τὸν Καΐν. τὴν ψυχὴν μὲ θανατώσας διὰ τοῦ σώματος. ὑπερήλασα τὸν Λάμεχ. τὸν νὸν ἐμαυτοῦ ἀποκτείνας. καὶ τὰς αἰσθήσεις ἀχρειώσας διὰ τῶν αἰσχρῶν ἡδονῶν. ὑπὲρ τοὺς ἐν τῷ κατακλυσμῷ παρηνόμησα. ἐδὲν πρὸς τὴν ὑπερβολὴν τῶν κακῶν μου οἱ Σοδομῖται εἰργάσαντο. Αἰγύπτιος ἐγενόμην, καὶ σκληροκάρδιος Φαραὼ πρὸς τοὺς λόγους σε. ὑπὲρ τοὺς γογγύσαντας ἐν ἐρήμῳ. καὶ παραβεβηκότας τὸν νόμον σε. καὶ ὑπὲρ τοὺς Νινευίτας ἀνόμησα. Τί πρὸς τὰς ἐμὰς ἐκ διαθέσεως πράξεις αἱ ἀνομίαι τοῦ Μανασσῆ; καὶ αἱ ἁμαρτίαι τοῦ Δαβὶδ, καὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος; καὶ ἑτέρων πολλῶν, τῶν ἐν νόμῳ καὶ περὶ τῆς χάριτος; ὧν σὲ πάντων χεῖρον ἀνόμησα; ὑπὲρ τὸν λῃστὴν. καὶ Τελώνην ἐήμαρτον. ὑπὲρ τὸν Ἄσωτον ἀσώτως ἐβίωσα. ὑπὲρ τὴν Πόρνην τὸ σῶμα καὶ τὴν ψυχὴν κατεμόλυνα. ὑπὲρ τὸν Πέτρον σε ἠρνησάμην ἀμεταμέλητα. Καὶ ἁπλῶς εἰπεῖν, ὑπὲρ ἅπαντας τοὺς ἀσεβεῖς δυσεβῶς ἀνόμησα. καὶ ταῖς ἀρχηγοῖς τῆς κακίας ἐξωμοιώθην. ποῖς αἰσχροῖς καὶ πονηροῖς Δαίμοσι. πᾶσι τοῖς αὐτῶν κατακολουθῶν θελήμασι.

Ἀλλὰ σὺ, εὔσπλαγχνε Κύριε, θαυμάσωσον καὶ ἐπ' ἐμοὶ τὰ ἐλέη σε. κουφὸς φανήναί σε τὸ τῆς χρηστότητός σε πέλαος. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, ἀνεξικακίας καὶ ἀγαθότητος ἄβυσσος. ἡμαρτον, ὡς ἐδεὶς παρηνόμησα. ὡς ἐκ ἕτερος μετανοήσω ἐφθασα. καὶ μίαν ὥραν φυλάξαι τὰς ἐμὰς συνθήκας ἐδύνασο. ἡμαρτον ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου. καὶ ὑπὲρ τὴν ἄμμον, καὶ τὰς ῥανίδας τοῦ ὕδατος. Σὺ δὲ ὡς μακρόθυμος. καὶ φιλάνθρωπος, δεῖξόν σε τὰ σπλάγ-

σπλάγχνα, ἡ τὸ ἔλεος εἰς ἐμέ. ἐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὴν φιλανθρωπίαν σε. ἀπεριόριστον γὰρ τὸ πέλαγος τῶ ἐλέους σε, ἡ ἀνεξίκακος, ἡ ἀπερινόητος ἡ ἀνεξικακία, ἡ ἀγαθότης σε. τὰ δὲ ἐμὰ πταίσματα, εἰ ἡ μέγιστά εἰσι, ἡ ἀσύγκριτα ἀλλὰ πρὸς τὸ τῆς συμπαθείας σε ἀδιεξίτητον πέλαγος, ἐνὸς πολυσημορίῳ παρεικασμ. ὃ τὰ ἐμὰ δὲ μόνον, ἀλλὰ ἡ τῶν ἀπ' αἰῶνος ἁμαρτησάντων, ἡ ὑπὲρ ἐμέ. (εἰ τέως τίς εσι νικήσας ἐμὲ τοῖς κακοῖς).

Διὰ τοῦτο προσέρχωσοι τῷ ἀγαθῷ με Δεσπότῃ, ἡ ποιητῇ, ἡ χορηγῷ τῆς ζωῆς με. ἡ ἐξομολογοῦμαί σοι τῷ εὐσπλάγχνῳ Θεῷ με, ἃ ἔπραξα. σὺ δὲ τὸ σύνηθές σε ἔλεος προβαλλόμενος, δεῖξον ἐπ' ἐμοὶ τὰ ἀρχαῖα ἐλέησε, ἡ ἐλέησόν με τὸν ὑπὲρ ἅπαντας κατὰ πρᾶξιν, ἡ διάθεσιν ἁμαρτήσαντα, τὸν ἀλαζόνα, τὸν ὑπερήφανον, τὸν κενόδοξον, τὸν ὑψηλόφρονα, τὸν ὑπερόφρυν, τὸν μετέωρον, τὸν ὑπερόπτην, τὸν αὐθάδη, τὸν φίλαρχον, τὸν φιλονδείκτην, τὸν ἀγνώμονα, τὸν ἀχάριστον, τὸν φιλόκοσμον, τὸν μαλακὸν, τὸν μοιχὸν, τὸν πόρνον, τὸν βέβηλον, τὸν ἄσωτον, τὸν αἰσχρὸν, τὸν ῥυπαρὸν, τὸν λάγνον, τὸν φθορέα, τὸν ἡδυπαθῆ, τὸν ἀσελγῆ, τὸν ἐμπαθῆ, τὸν παράνομον, τὸν φιλήδονον, τὸν γαστρίμαργον, τὸν λαίμαργον, τὸν τρυφηλὸν, τὸν ἀδηφάγον, τὸν μέθυσον, τὸν ἀκηδιαστὴν, τὸν ὑπνηλὸν, τὸν ἀμελῆ, τὸν περίεργον, τὸν δάλιον, τὸν φθονερὸν, τὸν βάσκανον, τὸν συκοφάντην, τὸν διαβολέα, τὸν φονέα, τὸν λῃστὴν, τὸν κλέπτην, τὸν ἄδικον, τὸν πλεονέκτην, τὸν ἅρπαγα, τὸν φιλοχρήματον, τὸν τοκιστὴν, τὸν ὀργίλον, τὸν ψεύστην, τὸν αἰσχροκερδῆ, τὸν φειδωλὸν, τὸν μνησίκακον, τὸν σκληροκάρδιον, τὸν ἀκαμπῆ, τὸν ἀνυπόταχτον, τὸν ἀνήκοον, τὸν κατάλαλον, τὸν φλύαρον, τὸν λοίδορον, τὸν ψιθυριστὴν, τὸν γελοιαστὴν, τὸν αἰσχρολόγον, τὸν ἐπίορκον, τὸν εἴρωνα τὸν ἀπατεῶνα, τὸν ὑβριστὴν, τὸν θυμώδη, τὸν ἐκδικητὴν, τὸν φιλόνεικον, τὸν πικρὸν, τὸν ἀσυμπαθῆ, τὸν ἀνελεήμονα, τὸν ἀνάλγητον, τὸν ἀφιλόπτωχον, τὸν ἀφιλόξενον, τὸν ἄσπονδον, τὸν ἄφιλον, τὸν ἐριστικὸν, τὸν μάχιμον, τὸν ὀνειδιστικὸν, τὸν πάροινον, τὸν πλήκτην, τὸν φιλόψογον, τὸν ἀργολόγον, τὸν μάταιον, τὸν ἄφρονα, τὸν καταφρονητὴν, τὸν ἄφοβον, τὸν μισόκαλον, τὸν μισάδελφον, τὸν μισάρετον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τον, τὸν βλάσφημον, τὸν ἀπειθῆ, τὸν αὐτοκατάδικον, τὸν κατακεχριμένον, τὸν ἀμετανόητον, τὸν ἀνεξαγόρευτον, τὸν ἀναπολόγητον, τὸν πᾶν εἶδος ἀσελγείας, ἢ ἀνομίας διαπραξάμενον, ψυχῇ τε ἅμα ἢ σώματι, ἢ πάσης διὰ τοῦτο Φιλανθρωπίας, ἢ συμπαθείας ἀνάξιον, ἢ ἄξιον τῆς ἀτελευτήτου κολάσεως.

Δίκαιος μὲν εἶ Κύριε, ἢ δικαία ἡ κρίσις σου. ἀλλ' ἀεί σου νικᾷ τὸ Φιλανθρωπον, ἢ κλίνει ἐκ τούτου εἰς τοῦτο. Μὴ τῷ θυμῷ σου τοίνυν ἐλέγξῃς με, ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς Κύριε, τίς ὑποστήσεται; ἐκ ἀγνοῶ μὲν ὢν, ὡς μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με. ὅτι ὑπὲρ ἅπαντας ἐπλημμέλησα, ἢ αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου. Ἐστίλωσά μου τὸ κατ' εἰκόνα ἠχρείωσα τὸν χιτῶνά μου τῆς ψυχῆς. ἐσβέσθη μου τῆς χάριτος ἡ λαμπὰς. τὰ χείλη μου κατερρύπωσα. τὰς ὀφθαλμὰς ἐκιβδήλωσα ταῖς ἀτόποις, ἢ παραλόγοις ὁράσεσι, ζητῶν τὸ ψεῦδος ἢ ματαιότητα. ὢ ποσάκις μετανοήσω συνεταξάμην, ἢ ψευδόμενος ὠφθην. τῷ πλούτῳ τῆς περὶ ἐμὲ χρηστότητός σου καταφρονῶν! ὢ ποσάκις ἐν Ἐκκλησίαις ἀποθέσθαι τὰ φαῦλα ὑπισχνοῦμαί σοι, ἢ ἐξελθὼν, τοῖς αὐτοῖς ἢ χείροσιν ἐμπίπτω κακοῖς. ὥσπερ τῶν συνθηκῶν ἐπιλανθανόμενος, ἀπὸ τῆς κακῆς μου ἢ μυσαρᾶς ἕξεως!

Διὸ ὁ χρῄσας Δέσποτα, τῷ ἐμφύτῳ ἐλέει σου, ἢ τῷ πελάγει τῆς ἀνεξικακίας σου· ἢ αὖθις μακροθύμησον ἐπ' ἐμοὶ, ἢ μὴ πρόωρον μετανοίας ἁρπάσῃς με, μήτε ὡς ἄκαρπον δένδρον ἐκκόψας με. μὴ γένωμαι θέατρον Ἀγγέλοις, ἢ ἀνθρώποις, ἢ εἰς κακίαν σκήλη τις, ἢ παράδειγμα ἑτέρων, διὰ τὴν ἐμὴν ἀποτομον καταδίκην, ἢ ἐκκοπὴν σωφρονιζομένων. Ἄνοιξόν μοι τὴν θύραν σου κρούοντι. ὄρεξόν μοι τὴν χεῖρά σου καταπονοῦντι ζομένῳ. βυθὸς γὰρ χειμάζει με ἡδονῶν. εἰ μὴ γὰρ ἡ σὴ Φιλανθρωπία προφθάσει, ὅσα ἐγὼ πράξω, ἅδου εἰσι. Τύραννός μοι μέγας ἐφίσταται ὁ ἐχθρός. ἡ φύσις αὐτή. ἡ κακή μου προαίρεσις, ἢ συνήθεια. ἤδη μοι ὁ χρόνος ἐξέλιπε τῆς ζωῆς. τὸ θέρισρον τοῦ θανάτου ἐγγύς. τὸ δρεπανον ἐξήκόνηται. ἡ ἀξίνη πρὸς τὴν ῥίζαν μου ἔφθασε. κἀγὼ πρὸς τὸ χεῖρον ἔχω τὴν προκοπήν. ὁ κλέπτης τὸν τοῖχόν μου τῆς ψυχῆς διορύσσει. ὁ κοινὸς ἐχθρὸς, ὡς λέων ὠρύεται, κατατιεῖν με ἅρδην ζητῶν. ἡ ὁδὸς ἑτοί μη-

μη. ἡ προθεσμία πεπλήρωται. τὸ χειρόγραφον ἀνὰ χεῖρας. οἱ κατήγοροι, ὡς δήμιοι ἀπαραίτητοι. ὁ ζυγὸς ἀπηώρηται, κἀγὼ ὁ ἄθλιος τἀναντεύομαι. ἢ οὐδὲ ὅτως αἰσθάνομαι. Οἴμοι! τίς γένωμαι; ποῦ τράπωμαι;

Δώρησαί μοι μετάνοιαν, Δέσποτα, ἢ τῶν πεπραγμένων συναίσθησιν. ἢ ἀναλόγα τῷ ῥύπῳ τῶν ἡδονῶν μου δάκρυα. Μὴ ἀνέτοιμον ἁρπάσῃς με, ἢ ἀνεξαγόρευτον. Ὁρᾷς τὴν ἐπίθεσιν τῆς ἀθλίας σαρκός μου, τὴν τῶν λογισμῶν ὑπερηφάνην, ἢ φλεγμαίνουσαν κάμινον, τὴν ἕξιν τὴν πονηράν, τὴν πρὸς τὰ χείρω ῥοπήν, ἢ σῶσόν με διὰ μόνον τὸ ἄπειρον ἔλεός σου. ἐλέησόν με διὰ τὴν μεγαλην, ἢ ἀνεκδιήγητόν σου χρηστότητα. ὥσπερ γὰρ τὰ ἐμὰ πταίσματα ἀριθμηθῆναι ἀδύνατον· ὅτως ἄπειρον, ἢ ὑπερέχοχον καθ' ὑπερβολὴν τὸ ἔλεός σου ἢ ἡ Φιλανθρωπία σου. Διὰ τοῦτο ἀναλόγως τοῖς ἐμοῖς πταίσμασιν, ἐπίχεε δωρεὰν ἐπ ἐμὲ τὴν ἀνεξάντλητον ἀγαθότητά σου, ὅτι ἐπιμελῶς ἀεὶ ἡ διάνοιά μου ἔγκειται ἐπὶ τὰ πονηρά. Μνήσθητι τίς μου ἡ ὑπόστασις; ὅτι χοῦς εἰμι, ἢ ὡμοιώθην τῇ ματαιότητι, ἢ ὡσεὶ καπνὸς ἐξέλιπον αἱ ἡμέραι μου, Μνήσθητι, ὅτι ἐν ἁμαρτίαις γεγένημαι· ἀλλὰ παρὰ σοὶ ὁ ἱλασμός ἐστι, ἢ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.

Ὀπίσω γὰρ τῶν ἐπιθυμιῶν τῆς σαρκὸς πορευθείς, ἢ διὰ παντὸς τοῦ βίου τῷ βορβόρῳ τῶν ἡδονῶν ἐγκυλινδόμενος, ἐπίχαρμα τοῖς δαίμοσι, ἢ τῆς σῆς Φιλανθρωπίας ἔρημος γέγονα. Ἐκ βρέφους μέχρι τοῦ νῦν ἀπατώμενος ἢ δελεαζόμενος ὐδέποτε τοῖς σοῖς θελήμασι κατακολουθῆσαι ἠθέλησα· μὴ λογιζόμενος, ὅτι ἀγυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου· μηδὲ τῷ Φόβῳ τῆς τομῆς τοῦ θανάτου, ἢ τῷ Φόβῳ τοῦ ἀδεκάστου σου Κριτηρίου σωφρονιζόμενος. Ποίαν γὰρ πρᾶξιν αἰσχρὰν, μεθ' ὑπερβολῆς, ἢ σπουδῆς ὅτι πλείστης οὐκ ἐτέλεσα; προφάσεις ἐν ἁμαρτίαις προφασιζόμενος; τὸν νοῦν μου διανθυμήσεων αἰσχρῶν κατεῤῥύπωσα· τὸ σῶμα διὰ μίξεων ἐμπαθῶν κατεσπίλωσα· τὸ πνεῦμα διὰ συγκαταθέσεων Φαύλων ἠχρείωσα· ἐγὼ μόνος τὸν θυμόν σου παρώργισα· ἢ τὴν ὀργήν σου ἐξέκαυσα.

Τίς λοιπὸν θρηνήσει με; τίς πενθήσει μου τὸν ταλαίπωρον; Σὺ συμπαθὴς, εὐδιάλλακτος, Θεὸς ἐλέους ἢ οἰκτιρμῶν, ἔμφυτον ἔχων τῆς

Φιλαν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Φρενανθρωπίας τὸ πέλαγος, ἡ τῆς μακροθυμίας τὴν ἄβυσσον· ἐπει-
κὰμ Φθασε ἐν τῇ ταλαιπωρίᾳ μου, παρακαλῶντά με δέξαι ἐπιστρέ-
φοντα ἐναγκάλισαι. Ἴασαι τὸ ἀδιόρθωτον τῆς ἐμῆς ψυχῆς, ἡ οἷς ἐ-
πίσασαι κρίμασι, σῶσόν με· οὐκ ἔχω δάκρυον ἐκτενές· οὐκ ἔχω ἐξομο-
λόγησιν ἀληθινήν· ὅδε τι ἄλλο τῶν, ὅσα τὴν σὴν συμπάθειαν ἐκκα-
λέσασθαι ἱκανά. Οὐδὲν τὸ παράδοξον, εἰ τὸν δίκαιον σώσεις· εἰ τὸν
Φιλάρετον ἐλεήσεις· ἀλλ' εἰ ἐμὲ τὸν ἄμετρα πταίσαντα, τὰ ἐλέη σε
θαυμασώσεις.

Οἶδας τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης Φύσεως, ταύτην γὰρ ἐΦόρε-
σας εὐσπλάγχνως. Μὴ νικήσῃ τὸ πλῆθος τῶν κακῶν μου τὴν ἄμετρον
εὐσπλαγχνίαν σου. Πάριδε μου τὰς ἀνομίας, ἡ ὡς ἰατρὸς θεράπευσον
τὰ τῆς ψυχῆς μου ἀνίατα τραύματα. Ὁρᾷς τὸν μώλωπας, ὅσοι
μᾶλλον δὲ, ὁλοσώματος ἐστιν ἡ πληγή μου· ἡ οὐκ ἔστι μάλαγμα ἐπι-
θεῖναι, οὐδὲ ἔλαιον, οὐδὲ καταδέσμες· σοὶ μόνῳ τῷ ἀριστοτέχνῃ Θεῷ μου,
ᾧ πάντα δυνατὰ, ἡ τὰ παρὰ ἀνθρώποις ἀδύνατα, τὸ ταῦτα ἰάσα-
σθαι ῥᾴδιον, ἡ μηδοτιοῦν τραῦμα κακίας ὑπολιπέσθαι. Σῶσόν με,
ἡ αὐθις κράζω, ἕνεκεν τοῦ ἐλέους σου· διὸ τὸ πᾶν παρήγαγες· διὰ
πρὸς ἡμᾶς, τὸς μυρία σοι πταίσαντας, ἡ παροργίσαντας καταβέβη-
κας· μυρίων ταλάντων χρεωφειλέτης εἰμί· ἄφες μοι τὸ πλεῖον, ἵ-
να πλεῖον ἡ ἀγαπήσω. Ἥμαρτηκα ὁ Θεὸς, ἥμαρτηκά σοι· ὁμολογῶ·
ἀλλὰ μὴ καταδικάσῃς με κατὰ τὰς ἀνομίας μου, μηδὲ ἀποσρέψῃς τὸ
πρόσωπόν σου ἀπ' ἐμοῦ· ἀλλ' ἄκουσόν μου τοῦ ἐλέους σου μᾶλλον δὲ
ἐξάκουσον, ἡ διάδηλον, διὰ τῆς πρὸς ἐμὲ τὸν ὑπερπέρα πταίσαντα
συμπαθείας σου.

Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων, μακρύνων τὰς ἀνομίας ἡμῶν
ἀΦ' ἡμῶν· καθ' ὅσον αἱ ἀνατολαὶ ἀποδίεσανται τῶν δυσμῶν· ἡ λευ-
κανῶν διὰ τῆς μετανοίας τὰς ἁμαρτίας ἡμῶν, ὡς χιόνατε, ἡ ὡς
ἔριον. Ὅσα τοίνυν ἥμαρτον ἄχρι τοῦ νῦν ἐκ νεότητος, συγχώρησόν
μοι ὡς ὑπεράγαθος· ἡ πολυέλεος· ἡ παράσχου μοι μετανοίας καιρὸν
ἡ ἀειῤῥύτα δάκρυα. Φαιδρύνον τὴν τῆς ψυχῆς μου λαμπάδα δι'
ἐξομολογήσεως, ἣν ἐζόφωσα, ἡ ἡμαύρωσα ταῖς τῶν ἀνομιῶν ἐπιθέσε-
σι· ἡ τὸ πρότερον ἔνδυμα, τὸ καθαρὸν ἡ ἀῤῥύπωτον, ὃ ἐνεδυσάμην

ἀπὸ

ἀπὸ τῦ βαπτίσματος, πάλιν ἀμφίασόν με τῇ ἐπισκέψει σε, παῤῥησίαν ἡ ἀῤῥαβῶνά μοι σωτηρίας ἀπὸ τῶν ἐντεῦθεν ἐπιβραβεύων. Μεσιτείᾳ τῆς ἀσπόρως ἡ ὑπερφυῶς τεκύσης Μητρὸς, τὸν ἀναρχόν σε λόγον, ἡ προαιώνιον. Προξασίαις τῶν ἀΰλων, ἡ ἀσωμάτων σε λειτουργῶν. Πρεσβείαις τῦ τῆς μετανοίας κήρυκος, τιμίυ, ἐνδόξυ, προφήτυ, Προδρόμυ, ἡ βαπτισῦ Ἰωάννυ. Τῶν ἁγίων ἐνδόξων ἡ πανευφήμων Ἀποστόλων. τῦτε δευτέρυ τῆς μετανοίας κήρυκος Ἰωάννυ τῦ πανσόφυ ἡ χρυσορῥήμονος. ἡ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι εὐλογητὸς εἶ, σὺν τῷ μονογενεῖ σε Υἱῷ, ἡ τῷ ζοοποιῷ, ἡ παναγίῳ σε Πνεύματι. νῦν, ἡ ἀεὶ, ἡ εἰς τοὺς ἀτελευτήτυς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ε'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ἣν, ὡς λέγυσί τινες, ηὔχετο ὁ μέγας τῆς Θεσσαλονίκης Γρηγόριος ὁ Παλαμᾶς, ὡς ἐν τῷ βίῳ τύτυ ὁράτω.

Παρθένε Δέσποινα Θεοτόκε, ἡ τὸν Θεὸν λόγον κατὰ σάρκα γεννήσασα· οἶδα μὲν, οἶδα, ὅτι ὐκ ἔσιν εὐπρεπὲς, ὐδὲ ἄξιον, ἐμὲ τὸν ὕτω πανάσωτον, εἰκόνα καθορᾶν σε τῆς ἁγνῆς, σῦ τῆς ἀειπαρθένυ, σῦ τῆς σῶμα, ἡ ψυχὴν ἐχύσης καθαρὰ ἡ ἀμόλυντα, ὀφθαλμοῖς μεμολυσμένοις ὁρᾶν, ἡ χείλεσιν ἀκαθάρτοις, ἡ βεβήλοις περιπτύσσεσθαι, ἢ παρακαλεῖν. Δίκαιον γάρ ἐσιν, ἐμὲ τὸν ἄσωτον, μισεῖσθαι, ἡ συγεῖσθαι ὑπὸ τῆς σῆς καθαρότητος. Πλὴν, ἐπειδήπερ γέγονεν ὁ Θεὸς, ὃν ἐγέννησας, ἄνθρωπος, ὅπως καλέσῃ τὺς ἁμαρτωλὺς εἰς μετάνοιαν. Θαῤῥῶν κἀγὼ προσέρχομαί σοι, μετὰ δακρύων δεόμενος.

Δέξαι με τὴν παρῦσαν τῶν πολλῶν, ἡ χαλεπῶν πταισμάτων ἐξαγόρευσιν, ἡ προσάγαγε τῷ μονογενεῖ σε Υἱῷ ἡ Θεῷ, ἱκετηρίαν ποιῦσα, ὅπως γένηται ἵλεως τῇ ἀθλίᾳ με, ἡ ταλαιπώρῳ ψυχῇ. διὰ γὰρ τὸ πλῆθος τῶν ἀνομιῶν με, κωλύομαι πρὸς αὐτὸν ἀτενίσαι, ἡ αἰτῆσαι συγχώρησιν. διὰ τῦτο σὲ προβάλλομαι πρέσβιν ἡ μεσίτιν. Ὅτι πολλῶν ἀπολαύσας, ἡ μεγάλων δορεῶν παρὰ τῦ πλασεργήσαντός με

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τός με Θεῦ, ἀμνήμων τε πασῶν Φανεὶς ὁ ἄθλιος ἢ ἀχάριτος, εἰκότως παρασυνεβλήθην τοῖς κτήνεσι τοῖς ἀνοήτοις, ἢ ὡμοιώθην αὐτοῖς· πτωχεύων ταῖς ἀρεταῖς· πλουτῶν τοῖς πάθεσι· αἰσχύνης πεπλησμένος· παῤῥησίας θείας ἐσερημένος· κατακεκριμένος ὑπὸ Θεῦ· θρηνέμενος ὑπὸ Ἀγγέλων· γελώμενος ὑπὸ Δαιμόνων, ἢ μισέμενος παρὰ ἀνθρώπων· ἐλεγχόμενος ὑπὸ τῦ συνειδότος· ὑπὸ τῶν πονηρῶν με καταισχυνόμενος ἔργων, ἢ πρὸ θανάτυ νεκρὸς ὑπάρχων, ἢ πρὸ τῆς κρίσεως αὐτοκατάκριτος ὢν, ἢ πρὸ τῆς ἀτελευτήτυ κολάσεως αὐτοτιμώρητος τυγχάνων ὑπὸ τῆς ἀπογνώσεως. Δι' ὃ δὴ, εἰς τὴν σὴν, ἢ μόνην καταφεύγω ἀντίληψιν, Δέσποινα Θεοτόκε, ὁ τῶν μυρίων ταλάντων ὀφειλέτης· ὁ ἀσώτως μετὰ πορνῶν τὴν πατρικὴν δαπανήσας ὐσίαν· ὁ πορνεύσας ὑπὲρ τὴν Πόρνην· ὁ παρανομήσας ὑπὲρ τὸν Μανασσῆν· ὁ ὑπὲρ τὸν πλήσιον ἄσπλαγχνος γεγονὼς· ὁ λαίμαργος δῆλος· τὸ τῶν πονηρῶν λογισμῶν δοχεῖον· ὁ τῶν αἰσχρῶν ἢ ῥυπαρῶν λόγων θησαυροφύλαξ· ὁ πάσης ἀγαθῆς ἐργασίας ἀλλότριος.

Ἐλέησόν με τὴν ταπείνωσιν· οἰκτείρησόν με τὴν ἀσθένειαν· μεγάλην ἔχεις τὴν παῤῥησίαν πρὸς τὸν ἐκ σῦ τεχθέντα· ἐδεὶς δύναται, ὡς σύ, Μῆτερ Θεῦ. Πάντα γὰρ ἰσχύεις, ὡς πάντων ὑπερέχυσα τῶν κτισμάτων· ἢ ἐδόν σοι ἀδύνατον, ἐὰν θελήσῃς μόνον. Μὴ ἴδῃς με τὰ δάκρυα· μὴ βδελύξῃ με τὸν ςεναγμόν· μὴ ἀπώσῃ με τὸν ἐκ καρδίας πόνον. μὴ καταισχύνῃς με τὴν εἰς σὲ προσδοκίαν· ἀλλὰ ταῖς μητρικαῖς συ δεήσεσι, τὴν τῦ ἀγαθῦ ὑῦ συ ἢ Θεῦ, ἀβίαςον βιασαμένη εὐσπλαγχνίαν, ἀξίωσόν με τὸν ταλαίπωρον, ἢ ἀνάξιον δῆλόν συ, τὸ πρῶτον, ἢ ἀρχαῖόν με ἀπολαβεῖν κάλλος, ἢ τὴν τῶν παθῶν ἀποθέσθαι ἀμορφίαν· ἐλευθερωθῆναι ἀπὸ τῆς ἁμαρτίας, δωλωθῆναι δὲ τῇ δικαιοσύνῃ. ἐκδύσασθαι τὸν μιασμὸν τῆς σαρκικῆς ἡδονῆς, ἢ ἐνδύσασθαι τὸν ἁγιασμὸν τῆς ψυχικῆς καθαρότητος. νεκρωθῆναι τῷ κόσμῳ, ἢ ζῆσαι τῇ ἀρετῇ.

Ὁδοιπορῦντί μοι, συνόδευσον. ἐν θαλάσσῃ πλέοντι, σύμπλευσον. ἀγρυπνῦντά με, ἐνίσχυσον. θλιβόμενον, παραμύθησον. ὀλιγοψυχῦντα, παράκλεσον. ἀσθενῦντι, ἴασίν μοι δώρησαι. ἀδικούμενον, ῥῦσαί με. συκοφαντούμενον, ἀθῴωσον. εἰς θάνατον κινδυνεύοντα, συν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόμως προφθάσασα λύτρωσαι. τοῖς ἀοράτοις ἐχθροῖς καθ' ἑκάστην φοβερὸν δεῖξόν με· ἵνα γνῶσι πάντες οἱ ἀδίκως τυραννοῦντες, τίνος δῶλος ὑπάρχω. Ναὶ ὑπεράγαθε Δέσποινα Θεοτόκε· ἐπάκουσον τῆς οἰκτρᾶς μου δεήσεως· καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου· ἡ μετὰ Θεὸν ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς. Τὸν βρασμὸν τῆς σαρκός μου κατάσβεσον. τὸν ἐν τῇ ψυχῇ μου ἀγριώτατον κλύδωνα κατεύνασον. τὸν πικρὸν θυμὸν καταπράϋνον. τὸν τύφον, καὶ τὴν ἀλαζονίαν τῆς ματαίας οἰήσεως, ἐκ τοῦ νοός μου ἀφάνισον. τὰς νυκτερινὰς φαντασίας τῶν πονηρῶν πνευμάτων, καὶ τὰς μεθημερινὰς τῶν ἀκαθάρτων ἐννοιῶν προσβολὰς, ἐκ τῆς καρδίας μου μείωσον. παίδευσόν μου τὴν γλῶσσαν λαλεῖν τὰ συμφέροντα. δίδαξόν μου τοὺς ὀφθαλμοὺς βλέπειν ὀρθῶς τῆς ἀρετῆς τὴν εὐθύτητα. τοὺς πόδας μου τρέχειν ἀνυποσκελίστως ποίησον, τὴν μακαρίαν ὁδὸν τῶν τοῦ Θεοῦ ἐντολῶν. τὰς χεῖράς μου ἁγιασθῆναι παρασκεύασον· ἵνα ἀξίως αἴρω αὐτὰς πρὸς τὸν ὕψιστον. κάθαρόν μου τὸ σῶμα. ἵνα μετὰ παῤῥησίας ἐπικαλῆταί σε Πατέρα, τὸν φοβερὸν Θεὸν καὶ πανάγιον. Ἀνοιξόν μου τὰ ὦτα· ἵνα ἀκούω αἰσθητῶς καὶ νοητῶς, τὰ ὑπὲρ μέλι καὶ κηρίον γλυκύτερα τῶν ἁγίων Γραφῶν λόγια, καὶ βιῶ κατ' αὐτὰ ὑπὸ σοῦ κραταιούμενος.

Δός μοι καιρὸν μετανοίας. λογισμῶν ἐπιστροφῆς. αἰφνιδίου θανάτου με ἐλευθέρωσον. κατακεκριμένον ὑπὸ τοῦ συνειδότος με, ἀπάλλαξον. Καὶ τελευταῖον παράσχου μοι ἐν τῷ χωρισμῷ τῆς ψυχῆς ἀπὸ τοῦ ἀθλίου μου σώματος· τὴν ἀφόρητον ἐκείνην ἐλαφρύνουσα βίαν· τὸν ἀνέκφραστον κωφίζουσα πόνον· τὴν ἀπαραμύθητον παρηγοροῦσα ξενοχωρίαν· τῆς σκοτεινῆς μου τῶν δαιμόνων λυτρουμένη μορφῆς· τοῦ πικροτάτου λογοθεσίου τῶν τελωνῶν τοῦ ἀέρος καὶ τῶν ἀρχόντων τοῦ σκότους ἐξαίρουσα, καὶ τὰ χειρόγραφα τῶν πολλῶν μου ἁμαρτιῶν διαῤῥήσσουσα, τῷ Θεῷ μου οἰκειοῦσα, καὶ τῆς ἐκ δεξιῶν αὐτοῦ μακαρίας στάσεως, ἐν τῷ φοβερῷ κριτηρίῳ καταξίωσόν· καὶ τῶν αἰωνίων, καὶ ἀκηράτων ἀγαθῶν κληρονόμον με ποίησον.

Ταύτην σοι προσάγω τὴν ἐξομολόγησιν Δέσποινά μου Θεοτόκε, τὸ φῶς τῶν ἐσκοτισμένων μου ὀφθαλμῶν· ἡ παραμυθία τῆς ἐμῆς ψυχῆς· ἡ μετὰ Θεὸν ἐλπίς μου, καὶ προσασία. Ἣν εὐμενῶς πρόσδεξαι, καὶ κα-

θάρισόν με ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος· καὶ ἀξίωσόν με ἐν τῷ παρόντι αἰῶνι, ἀκατακρίτως μετασχεῖν τοῦ παναγίου σου, καὶ ἀχράντου σώματος, καὶ αἵματος τοῦ Υἱοῦ καὶ Θεοῦ σου. Ἐν δὲ τῷ μέλλοντι, τὸ γλυκυτάτου σου, καὶ ἐρανίου δείπνου τῆς τρυφῆς τοῦ Παραδείσου· ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία. Τούτων δὲ τυχὼν καὶ ἐγώ· ἐλέησόν με πρὸ τῆς ἐμῆς τελευτῆς. οἶδα γὰρ ὅτι φρικτὸν, καὶ φοβερὸν ἀναμένει με δικαστήριον, ἐνώπιον πάσης τῆς κτίσεως γίνεται· ἀσύγγνωστα γὰρ ὡς ἀληθῶς, καὶ ἀνάξια ὑπάρχουσι συγχωρήσεως, ὡς ὑπερβαίνοντα τῷ πλήθει ψάμμον θαλάσσιον. Διὰ τοῦτο καὶ ὁ τολμῶ τὴν αἴτησιν τῆς ἀφέσεως τούτων ποιήσασθαι· Δέσποτα· ὅτι πλεῖον πάντων ἀνθρώπων εἰς σὲ ἐπλημμέλησα· ὅτι ὑπὲρ τὸν ἀσωτον ἀσώτως ἐβίωσα· ὅτι ὑπὲρ τὸν μυρία τάλαντα, χρεωφειλέτης σου γέγονα· ὅτι ὑπὲρ τὸν Τελώνην, κακῶς ἐτελώνησα· ὅτι ὑπὲρ τὸν λη-

Εὐχὴ Β'. εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πάνυ κατανυκτικὴ καὶ ἱκετήριος. Τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ (1) Ὃν καθ' ἑσπέραν λέγων αὐτὴν μετὰ κατανύξεως· εἰ ἐπέλθοι ἐπ' αὐτὸν ἡ φοβερὰ ὥρα τοῦ θανάτου ἐν τῇ νυκτὶ ταύτῃ, λυτρῶται τῆς κολάσεως, ἐλέει Θεοῦ.

Ὑπλαγχνε, καὶ πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου· ὁ ἐλθὼν εἰς τὸν Κόσμον ἁμαρτωλοὺς σῶσαι· ὧν πρῶτός εἰμι ἐγώ. ἐλέησόν με πρὸ τῆς ἐμῆς τελευτῆς. οἶδα γὰρ ὅτι φρικτὸν, καὶ φοβερὸν ἀναμένει με δικαστήριον, ἐνώπιον πάσης τῆς κτίσεως γίνεται· ἀσύγγνωστα γὰρ ὡς ἀληθῶς, καὶ ἀνάξια ὑπάρχουσι συγχωρήσεως, ὡς ὑπερβαίνοντα τῷ πλήθει ψάμμον θαλάσσιον. Διὰ τοῦτο καὶ ὁ τολμῶ τὴν αἴτησιν τῆς ἀφέσεως τούτων ποιήσασθαι· Δέσποτα· ὅτι πλεῖον πάντων ἀνθρώπων εἰς σὲ ἐπλημμέλησα· ὅτι ὑπὲρ τὸν ἀσωτον ἀσώτως ἐβίωσα· ὅτι ὑπὲρ τὸν μυρία τάλαντα, χρεωφειλέτης σου γέγονα· ὅτι ὑπὲρ τὸν Τελώνην, κακῶς ἐτελώνησα· ὅτι ὑπὲρ τὸν λη-

(1) Ἄλλοι δέ φασι ποίημα ταύτην εἶναι Ἀναστασίου τοῦ Συναΐτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν λῃστὴν, ἐμαυτὸν ἐθανάτωσα. ὅτι ὑπὲρ τὴν Πόρνην, ἐγὼ ὁ Φιλόπορνος ἔπραξα. ὅτι ὑπὲρ τοὺς Νινευΐτας, ἀμετανόητα ἐπλημμέλησα. ὅτι ὑπὲρ τὸν Μανασσῆν, » ὑπερῆραν τὴν κεφαλήν μου αἱ ἀνομίαι μου· » ἢ ὡσεὶ φορτίον βαρὺ, ἐβαρύνθησαν ἐπ' ἐμέ. ἢ ἐταλαιπώρησα, » ἢ κατεκάμφθην ἕως τέλους. Ὅτι τὸ Πνεῦμά σου τὸ ἅγιον ἐλύπησα. ὅτι τῶν ἐντολῶν σου παρήκουσα. ὅτι τὸν πλησίον σου διεσκόρπισα. ὅτι τὴν χάριν σου ἐβεβήλωσα. ὅτι τὸν ἀρραβῶνα, ὃν μοι δέδωκας, ἀνομίαις ἐνήλωσα. ὅτι τὸ τίμιον κατ' εἰκόνα σου, τὴν ψυχήν μου, ἐμόλυνα. ὅτι τὸν χρόνον, ὃν μοι δέδωκας εἰς μετανοίαν, μετὰ τῶν ἐχθρῶν σου ἐβίωσα. ὅτι ἐδεμίαν ἐντολήν σου ἐφύλαξα. ὅτι τὸν χιτῶνά μου κατερρύπωσα, ὃν με ἐνέδυσας. ὅτι τῇ ὀρθῇ λόγου τὴν λαμπάδα ἀπέσβεσα. ὅτι τὸ πρόσωπόν μου, ὃ ἐφαίδρυνας, ἐν ἁμαρτίαις ἠχρείωσα. ὅτι τοὺς ὀφθαλμούς μου, οὓς ἐφώτισας, ἐκουσίως ἐτύφλωσα. ὅτι τὰ χείλη μου, ἅπερ πολλάκις τοῖς θείοις σου μυστηρίοις ἡγίασας, αἰσχύναις ἐμόλυνα.

Καὶ οἶδα, ὅτι πάντως τῷ Φοβερῷ σου βήματι παραστήσομαι, ὡς κατάδικος ὁ παμμίαρος. οἶδα, ὅτι πάντα τότε τὰ πεπραγμένα μοι ἐλεγχθήσονται, ἢ ἐκ ἀποκρυβήσεται ὁδὸν παρὰ σοί. Ἀλλὰ δέομαί σου, εὐσυμπάθητε, πολυέλεε, Φιλανθρωποτατε Κύριε. » μὴ τῷ θυμῷ σου Ψαλμ. ε'. 1. » ἐλέγξῃς με, ὁ λέγω, μὴ παιδεύσῃς με. ἀδύνατον γὰρ τοῦτο ἀπὸ τῶν » ἔργων μου. ἀλλὰ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. κερδήσω τοῦτο παρὰ σοί, ἐὰν μὴ τῷ θυμῷ σου, ἢ τῇ ὀργῇ σου παιδεύσῃς με, μηδὲ φανερώσῃς αὐτὰ, Ἀγγέλων, ἢ ἀνθρώπων ἐνώπιον, εἰς αἰσχύνην μου ἢ ὄνειδος, » Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. εἰ ῥᾴθυμε βασιλέως θυμὸν ἐδεὶς ἐνεγκεῖν δύναται· πόσῳ μᾶλλον σὺ τοῦ Κυρίου τὸν θυμὸν ὁ ἄθλιος ὑποστήσομαι; Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. μηδὲ τῇ » ὀργῇ σου παιδεύσῃς με. οἶδα λῃστὴν αἰτήσαντα, ἢ παρευθὺς συγχώρησιν ἐκ σοῦ κομισάμενον. οἶδα Πόρνην ὁλοψύχως προσελθοῦσαν, ἢ συγχωρηθεῖσαν. οἶδα Τελώνην ἐκ βάθους στενάξαντα, ἢ δικαιωθέντα. ἐγὼ δὲ ὁ πανάθλιος πάντας ὑπερβαίνων ταῖς ἁμαρτίαις, τῇ μετανοίᾳ τούτους οὐ θέλω μιμήσασθαι. οὐδὲ γὰρ ἔχω δάκρυον ἐκτενές. οὐκ ἔχω ἐξομολόγησιν καθαρὰν, ἢ ἀληθινήν. οὐκ ἔχω στεναγμὸν ἐκ βάθους καρδίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίας. ὐκ ἐχω καθαρὰν τὴν ψυχήν. ὐκ ἔχω ἀγάπην κατὰ Θεόν. ὐκ ἔχω πτωχείαν πνευματικήν. ὐκ ἔχω προσευχὴν διηνεκῆ. ὐκ ἔχω σωΦροσύνην ἐν τῇ σαρκί. ὐκ ἔχω καθαρότητα λογισμῶν. ὐκ ἔχω προαίρεσιν θεοτερπῆ. Ποίῳ ἓν προσώπῳ; ἢ ἐν ποίᾳ παῤῥησίᾳ ζητήσω συγχώρησιν;

Κύριε, μὴ τῷ θυμῷ σε ἐλέγξῃς με. Πολλάκις, Δέσποτα, μετανοεῖν συνεταξάμην. Πολλάκις ἐν Ἐκκλησίᾳ κατανυγεὶς προσπίπτω σοι, ἐξερχόμενος δὲ, ταῖς ἁμαρτίαις εὐθὺς περιπίπτω. Ποσάκις με ἠλέησας ἐγὼ δέ σε παρώργισα! Ποσάκις ἐμακροθύμησας, ἐγὼ δὲ ὐκ ἐπέστρεψα! Ποσάκις με ἀνέσησας, ἐγὼ δὲ πάλιν ὀλισθήσας κατέπεσον! Ποσάκις με εἰσήκουσας ἐγὼ δέ σε παρήκουσα! Ποσάκις με ἐπόθησας, ἐγὼ δὲ ὐδαμῶς σοι ἐδέλευσα! Ποσάκις με ἐτίμησας, ἐγὼ δὲ ὐκ εὐχαρίστησα! Ποσάκις ἁμαρτήσαντα, ὡς ἀγαθὸς Πατὴρ παρεκάλεσας, ἢ ὡς Υἱὸν κατεφίλησας, ἢ τὰς ἀγκάλας ὑΦαπλώσας μοι, ἐβόησας! ἔγειραι, μὴ Φοβοῦ, σῴθι, παλιν δεῦρο, ὐκ ὀνειδίζω σε, ὁ βδελύσσομαι, ὐκ ἀποῤῥίπτω, ὐδὲ σληρύνω τὸ ἐμὸν πλασμα, τὸ ἐμὸν τέκνον, τὴν ἐμὴν εἰκόνα· ὃν οἰκείαις χερσὶ διέπλασα ἄνθρωπον, ἢ ἐΦόρεσα. ὑπὲρ ὃ τὸ αἷμα ἐξέχεα. ὐκ ἀποστρέΦομαι πρός με ἐρχόμενον τὸ λογικόν μου πρόβατον τὸ ἀπολωλός. ὁ δύναμαι μὴ ἀποδοῦναι τὴν προτέραν εὐγένειαν. ὁ δύναμαι μὴ συναριθμῆσαι τοῖς ἐννενήκοντα ἐννέα προβάτοις. διὰ γὰρ τοῦτο ἦλθον ἐπὶ τῆς γῆς κατελήλυθα, ἢ τὸν λύχνον ἀνῆψα, τὴν σάρκα μου τὴν οἰκείαν, ἢ τὴν οἰκίαν ἐσάρωσα, ἢ τὰς Φίλας Δυνάμεις τὰς ὐρανίους συνεκαλεσάμην, ἐπευΦρανθῆναι τῇ τούτου εὑρέσει.

Πάντα ἓν τὰ τοιαῦτα, ὡς ἀγαθὸς ἢ Φιλάνθρωπος ἐχαρίσω μοι, Δέσποτα· ἐγὼ δὲ πάντων καταΦρονήσας ὁ ἄθλιος, εἰς ἀλλοτρίαν, ἢ μακρὰν χώραν τῆς ἀπωλείας ἀπέδρασα. Ἀλλ' αὐτός με, πανάγαθε, πάλιν ἐπανάγαγε, ἢ μὴ ὀργισθῇς μοι τῷ τάλανι Κύριε· μηδὲ τῷ θυμῷ σε ἐλέγξῃς με εὔσπλαγχνε· ἀλλὰ μακροθύμησον ἢ ἔτι ἐπ' ἐμοί. Μὴ σπεύσῃς ἐκκόψαι με, ὡς τὴν συκῆν τὴν ἄκαρπον. μηδὲ κελεύσῃς ἄωρον ἐκ τοῦ βίου θερίσαι με. ἀλλὰ δός μοι ζωῆς προθεσμίαν, ἢ ὁδήγησόν με εἰς μετάνοιαν Κύριε. ἢ μὴ τῷ θυμῷ σε ἐλέγξῃς

με,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» με, Δέσποτα, μηδὲ τῇ ὀργῇ σε παιδεύσῃς με.

» Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι τῇ ψυχῇ. ἀσθενής εἰμι τῷ λογισμῷ. ἀσθενὴς τῇ γνώμῃ. ἀσθενὴς τῇ προαιρέσει. ἐξέλιπε γάρ με ἡ ἰσχύς. ἐξέλιπέ με ὁ χρόνος. ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι με πᾶσαι, καὶ τὸ τέλος ἐφέηκεν· Ἀλλ' ἄνοιξον, ἄνοιξον, ἄνοιξόν μοι Κύριε· ἀναξίως κρέοντι, καὶ μὴ ἀποκλείσῃς μοι τὴν θύραν τῆς εὐσπλαγχνίας σε. ἐὰν γὰρ σὺ κλείσῃς, τίς μοι ἀνοίξει; ἐὰν σὺ μή με ἐλεήσῃς, τίς μοι βοηθήσει; ὐδεὶς ἄλλος ὐδείς, εἰ μὴ σὺ ὁ Φύσει ἐλεήμων καὶ εὔσπλαγχνος. » Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι. ἐξενεύρισε γάρ με ὁ ἐχθρὸς, καὶ ἀσθενῆ, καὶ συντετριμμένον ἐποίησεν. ὁ ἀσθενὴς δὲ καὶ συντετριμμένος, ὁ δύναται ἀνασῆσαι ἑαυτόν. ὁ δύναται ἰάσασθαι ἑαυτόν. ὁ συντετριμμένος ὁ δύναται βοηθῆσαι ἑαυτῷ. λοιπὸν, ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι.

» Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. ἐταράχθη καὶ συνετρίβη ἡ ψυχή μου. ὁ ἔν συντετριμμένος τὰ ὀστᾶ, ὁ δύναται ἀνασῆναι, καὶ ζητῆσαι τὸν ἰατρόν. ὁ δύναται δραμεῖν, καὶ ῥυσθῆναι τὸ ἐχθροῦ. λοιπὸν, σύ με ζήτησον, Δέσποτα, ὁ ἐλθὼν ζητῆσαι τὸ ἀπολωλός. σύ με τὸν λῃσταῖς περιπεσόντα ἐπίσκεψαι. ὁ γὰρ ἡμιθανῆ, ἀλλ' ὁλοθανῆ με εἰργάσαντο. λοιπὸν, ἴασαί με Κύριε, ὅτι ἀσθενῆ, καὶ σεσηπότα ὁ ἐχθρός με πεποίηκεν· ὁ δὲ ἀσθενὴς, καὶ σεσηπὼς, ὅλος κεῖται χαμαί. ὅλος ἔῤῥιπται πτῶμα ἐλεεινόν· μόνον ὅτι ἐπικαλεῖται τὸν ἰατρόν. μόνον, ὅτι φωνεῖ πρὸς τὸν ῥυόμενον. μόνον, ὅτι τοῖς ὀφθαλμοῖς περισκοπεῖ, πότε ἥξει, καὶ ἐπισκέψηται αὐτὸν, ὁ ἰώμενος τὸς συντετριμμένες τῇ καρδίᾳ, καὶ ἀνορθῶν τὸς κατερῥαγμένες, καὶ σώζων τὸς ἀπεγνωσμένες.

» Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐτα-
» ράχθη σφόδρα. σωματικὸς, καὶ ψυχικὸς με κατέλαβε ταραχος, Δέσποτα. ὅτι σαρκικοῖς περιέπεσα παθεσιν, ὅτι καὶ τὴν σάρκα, καὶ τὴν ψυχὴν τοῖς Δαίμοσιν ἐποίησα παίγνιον. Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, τὰ συνδεσμοῦντα τὸν ἔσω ἄνθρωπον. Ποῖα ταῦτα; ἡ πίστις, ἡ φρόνησις, ἡ ἐλπὶς, ἡ δικαιοσύνη, ἡ ἐγκράτεια, ἡ εὐσέβεια, ἡ πραότης, ἡ ταπεινοφροσύνη, καὶ ἡ ἐλεημοσύνη. Ταῦτα τὰ ὀστᾶ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁσᾶ, συνετρίβησαν. Δέσποτα· ἡ ἀλλ' ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὁσᾶ μȣ, καὶ ἡ ψυχή μȣ ἐταραχθη σφόδρα. ὁρῶ γὰρ λοιπὸν τὴν ὥραν τῆς ζωῆς μȣ προφθάσασαν, καὶ ἡ ψυχή μȣ ἐταράχθη σφόδρα. ὁρῶ τὴν πρὸς τὰ ἐκεῖσε χαλεπὴν ὁδὸν, καὶ μακρὰν, κἀμὲ πρὸς τὰ ἐκεῖσε ἐμαυτὸν ἑτοίμως μὴ ἔχοντα· καὶ ἡ ψυχή μȣ ἐταράχθη σφόδρα. ὁρῶ τὸν δανειστὴν ἀπαιτοῦντά με, καὶ μὴ ἀποδοῦναι ἰσχύοντα· καὶ ἡ ψυχή μȣ ἐταράχθη σφόδρα. ὁρῶ τὸν λογοθετην μȣ τὸ χειρόγραφον ἐπισείοντα καὶ τὰς δημίας βρύχοντας κατ' ἐμȣ· καὶ ἡ ψυχή μȣ ἐταράχθη σφόδρα. ὁρῶ πολλὰς κατηγορȣντάς με, καὶ ὀδύνας συνήγορον· καὶ ἡ ψυχή μȣ ἐταράχθη σφόδρα. ὅλος δι' ὅλȣ ταραχῆς καὶ σκοτοδίνης πεπλήρωμαι, καὶ ἀγωνιῶ, καὶ τρέμω, καὶ φρίττω, καὶ τὰ σπλάγχνα σπαράττομαι, καὶ τί πράξω ὐκ ἐπίσαμαι! ἢ ποίῳ προσώπῳ τὸν Κριτήν μȣ θεάσωμαι! ἰλιγγιῶ, παράττομαι, συνέχομαι, καὶ ἀμηχανῶ. καὶ λοιπὸν, ἡ ψυχή μȣ ἐταράχθη σφόδρα.

» Ἐλέησόν με Κύριε, ὅτι ἐταράχθη τὰ ὁσᾶ μȣ καὶ ἡ ψυχή μȣ ἐταράχθη σφόδρα. ὁ πονηρὸς διανοχλεῖν ὐ παύεται· οἱ ἐχθροί μȣ τῶ πολεμεῖν ὐκ ἀφίσανται. ὁ ἐμφύλιος τῆς σαρκὸς πόλεμος καταφλέγει με πάντοτε. οἱ πονηροὶ λογισμοὶ ὐδαμῶς ἡσυχάζȣσι.

» Καὶ σὺ Κύριε, ἕως πότε; ἴδὲ ὁρᾷς Κύριε, πάντα τὰ κατ' ἐμὲ, ὅτι ἄπορα, καὶ ἐλέεινα. Ἴδὲ βλέπεις τὴν κατ' ἐμῶ ἔνσασιν, καὶ τὸν πόλεμον τῶ σώματος, καὶ τὴν κάμινον τῶν παθῶν, καὶ τὴν ἀτονίαν τῆς ψυχικῆς μȣ δυνάμεως. λοιπὸν Κύριε, ἕως πότε ὐ συμπαθεῖς; ἕως πότε ὐκ ἐκδικεῖς; ἕως πότε ὐ σπεύδεις; ἕως πότε ὐ βλέπεις; ἕως πότε παροραῖς; Κύριε. ἐν τῷ ἐλέει σε σῶσόν με. μὴ παρίδῃς με Κύριε τὸν ἀνάξιον ἕνεκεν τῶ ἐλεȣς σε. ἡ γὰρ σὴ παρόρασις, ἐμὴ κατάπτωσις γίνεται, Δέσποτα.

» Διὸ ἐπίστρεψον Κύριε. ῥῦσαι τὴν ψυχήν μȣ, καὶ σῶσόν με ἕνεκεν τῶ ἐλεȣς σε. ὡς συμπαθὴς ἐλέησον. ὡς ἐλεήμων, συμπάθησον. ὡς Φιλάνθρωπος, σῶσόν με. ἕνεκεν τῶ ἐλεȣς σε, καὶ ὐχ' ἕνεκεν τῶν ἔργων μȣ. πονηρὰ γάρ εἰσιν. ὐχ' ἕνεκεν τῶν πόνων μȣ. ἀσθενὴς γάρ εἰμι. ὐχ' ἕνεκεν τῶν λογισμῶν, ἢ τῶν λόγων μȣ. ῥυπαροὶ γάρ εἰσι καὶ ἀκάθαρτοι· ἀλλ ἕνεκεν τῶ ἐλεȣς σε, πολυέλεε Κύριε, σῶσόν με. Εἰδὲ δικάσα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κάσασθαι πρός με βάλει, Δέσποτα, ἐγὼ πρῶτος ἐκφέρω κατ' ἐμαυτοῦ
τὴν ψῆφον. ἐγὼ καταδιαμαρτύρομαι, ὅτι ἄξιος θανάτου εἰμι. λοι-
πὸν, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. εἰς τὴν φιλανθρωπίαν σου καταφεύ-
Γών. ε. γω, Πανάγαθε. οὐκ ἔχω τί σοι προσαγαγεῖν ἄξιον. ἐλεημοσύνην ζη-
τῶ· μὴ ἀπαιτήσῃς με τὴν ταύτης τιμήν. » Μνήσθητι τῶν λόγων σου
ψ. ρμγ. » Κύριε· ὅτι ἐπιμελῶς ἔχεται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ
» ἐκ νεότητος αὐτοῦ. Καὶ » ἄνθρωπος ματαιότητι ὡμοιώθη· καὶ αἱ ἡ-
Ἰωβ. ιδ'. » μέραι αὐτοῦ, ὡσεὶ σκιὰ παράγουσι. Καὶ » οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου.
ψαλμ. » Καὶ ὅτι » ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ
ν'. 5. » μήτηρ μου. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς ἡμῶν, οὐδεὶς ὑποσταθήσεται
Κύριε. διὸ ὦ σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου ἕνεκεν τοῦ ἐλέους σου, καὶ οὐχ'
ἕνεκεν τῶν ἔργων μου.

Ἐὰν γὰρ τὸν ἄξιον ἐλεήσῃς, οὐδὲν θαυμαστὸν. ἐὰν τὸν δίκαιον σώ-
σῃς, οὐδὲν ξένον » σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. ἐπ' ἐμοὶ τὸ ἔλεος σου
θαυμάσωσον Κύριε. εἰς ἐμὲ τὴν εὐσπλαγχνίαν σου ἐμφάνισον, Δέσπο-
τα. εἰς ἐμὲ τὴν φιλανθρωπίαν σου μεγάλυνον, ἅγιε. Δεῖξον ἐπ' ἐμοὶ,
Κύριε, τὰ ἀρχαῖα ἐλέη σου. ὅτι τοὺς μὲν δικαίους σώζεις, καὶ τοὺς ἁμαρ-
τωλοὺς ἐλεεῖς. Μὴ νικήσῃ ἡ ἐμὴ κακία τὴν σὴν ἀγαθότητα, Κύριε.
μηδὲ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Ἐὰν γὰρ θελήσῃς μετ' ἐ-
μοῦ δικάσασθαι, φραγήσεταί μου τὸ στόμα, μὴ ἔχον τί φθεγξασθαι,
ἢ τι ἀπολογήσασθαι. διὸ ὦ μὴ εἰσέλθῃς εἰς κρισιν μετὰ τοῦ δούλου σου·
ψαλμ. μηδὲ ἐπισταθμήσῃς τὰς ἐμὰς ἁμαρτίας τῇ σῇ ἀπειλῇ. » ἀλλ' ἀπό-
ν'. 9. » στρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομί-
» ας μου ἐξάλειψον. καὶ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, Κύριε. καὶ τὸ ἔλε-
ψαλμ. » ός σου καταδιώξῃ με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Καταδιωξά-
κζ'. 8. τω με τὸ ἔλεός σου Κύριε, τὸν κακῶς ἀπὸ σοῦ φεύγοντα. τὸν ἀεὶ ἀπὸ
σοῦ δραπετεύοντα, καὶ πρὸς τὴν ἁμαρτίαν ἀεὶ κακῶς ἀποτρέχοντα.

Τοῦτο μόνον ἐπικαλοῦμαι, καὶ ἱκετεύω, καὶ δέομαι » σῶσόν με ἕνεκεν
τοῦ ἐλέους σου. σῶσόν με πρὸ τοῦ ἀπελθεῖν εἰς τὰ ἐκεῖσε δικαστήρια. ἢ
μᾶλλον τἀληθὲς εἰπεῖν, εἰς τὰ ἐκεῖσε κολαστήρια. ἔνθα οὐκ ἔστι με-
τάνοια, ὅτε ἐξομολόγησις. » ἐν γὰρ τῷ ᾅδῃ, φησι, τίς ἐξομολογή-
» σεταί σοι; Διὸ ὦ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ὅτι οὐκ ἔστιν ἐν τῷ θα-

νάτῳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νάτῳ ὁ μνημονεύων σε. οὐδὲ ἐν τῷ ᾅδῃ ὁ ἐξομολογούμενος. ἐκεῖ γὰρ οὐκ ἔ-
στι μετάνοια. οὐκ ἔστιν ἄφεσις τοῖς ὧδε μὴ μετανοοῦσι, μηδὲ ἐξομολογου-
μένοις. Δι' ὃ σῶσόν με μετανοοῦντά σοι, καὶ ἐξομολογούμενον τὸν ἀνάξιον
δοῦλόν σου, ἕνεκεν τοῦ ἐλέους σου, Κύριε, καὶ οὐχ' ἕνεκεν τῶν ἔργων μου.
σὺ γὰρ εἶπας, Κύριε, ζητεῖτε, καὶ εὑρήσετε. κρούετε, καὶ ἀνοιγήσεται Ματθ. ζ.
ὑμῖν. καὶ, ὅσα ἂν αἰτήσητε, πιστεύοντες λήψεσθε. δι' ὃ σῶσόν με ἕ- Ματθ'.
νεκεν τοῦ ἐλέους σου, Φιλάνθρωπε Δέσποτα ἵνα καὶ ἐπ' ἐμοὶ δοξασθῇ τὸ κά. ιζ.
πανάγιον, καὶ ὑπερδεδοξασμένον ὄνομά σου, Κύριε ὁ Θεός μου, ὁ δι' ἐμὲ
κατ' ἐμὲ γεγονώς. ὡς ἂν κἀγὼ μετὰ πάντων τῶν ἁγίων συναριθμη-
θεὶς, δοξάζω σε τὸν ὑπεράγαθον, καὶ Φιλάνθρωπον Θεόν μου Ἰησοῦν Χρι-
στὸν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ
σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ς'. εἰς τὴν Κυρίαν Θεοτόκον ἱκετήριος. ἐν ᾧ καιρῷ μάλιστά τις βούλεται μεταλαβεῖν.

Ω Πανάμωμε Θεοῦ Μῆτερ ὑπὲρ πάντα νοῦν, καὶ λόγον, ὦ ὑπεραγία Παρθένε, πάσης παρθενίας ὑπερκειμένη, ὡς καὶ πρὸ τοῦ θείου τόκου Παρθένος, ὑπὲρ πάσας ὅσαι τὰς παρ-
θένους, καὶ ἐν αὐτῷ τῷ τόκῳ, καὶ μετὰ τὸ τεκεῖν ἡ αὐτὴ μείνασα. δι'
ἧς ἡ τῶν ἀνθρώπων Φύσις ἡ πάλαι ἔκπτωτος, καὶ μακρὰν ἀπῳκισμέ-
νη Θεοῦ λόγοις ἀΦάτου Φιλανθρωπίας, καὶ ἀνεικάστου συγκαταβάσεως,
ἥνωται τῇ θείᾳ, καὶ μακαρίᾳ Φύσει, μηδαμῶς ὑποσάσῃ τροπὴν, ἢ
σύγχυσιν, ἢ ἀλλοίωσιν. δι' ἧς, καὶ μετὰ τὴν Φρικωδεστάτην ταύτην ἕ-
νωσιν, καὶ κατάλλαγὴν Θεόνῳ τοῦ πονηροῦ, καὶ τῇ τοῦ νοὸς ἡμῶν μαται-
ότητι, τοῦ καθήκοντος ἀποπίπτοντες, αὖθις ἀναχαλόμεθα, καὶ τὸν σὸν
Υἱὸν καὶ Θεὸν ἡμῶν. περὶ ἡμᾶς εὑρίσκομεν ἵλεων, ταῖς πρὸς αὐτὸν ἀ-
καμάτοις σου μεσιτείαις, καὶ ἀνυσιμωτάταις δεήσεσι.

Σοὶ, Δέσποινα, δέομαι, καὶ σὲ παρακαλῶ τὴν ἐλεήμονα, καὶ Φιλάν-
θρωπον, τοῦ Ἐλεήμονος καὶ Φιλανθρώπου Θεοῦ Μητέρα· πρόσχηθί μοι
καὶ ἐν τῇ ὥρᾳ ταύτῃ, πλείστης, εἴπερ ποτε, καὶ τανῦν δεομένῳ τῆς πα-
ρὰ σοῦ σκέπης, καὶ ἀντιλήψεως. Ἐπειδὴ γὰρ ὅλος ὢν ἀκαθαρσία, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἁμαρτιῶν βόρβορος. ἢ συνόλως εἰπεῖν τῶν ψυχολέθρων πάντων παθῶν οἰκητήριον, τοῖς ὑπεραχράντοις, ἢ Φρικτοῖς μυσηρίοις, τῆ σῆ Υἱῆ ἢ Θεῆ ἡμῶν προσελθεῖν βάλομαι, ἀγωνιῶ ἢ τρόμῳ συνέχομαι, πρὸς τὸ τῶν ἐμῶν ἀνομιῶν ἀΦορῶν πλῆθος. Τίνα γὰρ τῶν ἐμῶν αἰσθήσεων ὁ ταλαίπωρος ἠκατέχρανα; ποῖον σατανικὸν ἐπιτήδευμα, ἢ ἐνθύμημα, ἠ μεθ' ὑποκρίσεως, ἢ μετὰ διαθέσεως, ἢ μεθ' ὑπερβολῆς εἰργασάμην; ποίοις ἠ διεΦθάρην ἀτοπωτάτοις λογισμοῖς, ἢ ἀναπλάσμασι ματαιότητος; ποῖος αἰχμαλωσίας τρόπος, ἠ κατεκράτησέ μου τελέως τῆ νῆ; ἠ μόνον γὰρ ἐν οἷς ἀθλίως περιπτώκατάθεσιν, ἐν τούτοις κατὰ πρόληψιν ὡς αἰχμάλωτος περιαγομαι· ἀλλ' ἅπερ διὰ τῆς τῶν αἰσθήσεων ἀκρασίας, ἐξ ἀλλοτρίων πράξεων, ἢ ὁμιλιῶν, ἢ ἐκ τῆ παρήκοντος εἰς ἀκοὴν ἐλθόντα, ἢ ὁραθέντα, ἐμαυτῷ ἐπεσώρευσα πονηρὰ εἴδωλα· ταῦτα σκεδάννυσι τὴν διάνοιαν. ἀλλὰ ἢ τὰ μήπω γεγονότα, μήτε μὴν γεννησόμενα, μήτ' ἀκουσθέντα, μήθ' ὁραθέντα, συνερχόμενος ὁ ἐμπαθὴς, ἢ σαθρὸς, ἢ νηπιόΦρων, ἢ ἄκαρπός μου νῆς τῷ δημιουργῷ τῆς κακίας, ἢ ὡς ὄντα εἰδοποιῶν, ἐν τούτοις τὸν τῆς ἐλευθερίας μου ζωῆς κατηνάλωσα χρόνον.

Τοσούτοις, ἢ τηλικούτοις ὁ δυσυχὴς ἐνεσχημένος κακοῖς, πρὸς τοιαῦτα ὑπερΦυῆ, ἢ θειότατα, πρὸς ἃ δὴ ἢ Ἄγγελοι παρακῦψαι ἐπιθυμοῦσι, προσελθεῖν προσεθέμην, ὦ Δέσποινα, ἢ δεδοικα, μήπως ὡς ἀνάξιος, κατ' ἐκεῖνον τὸν μὴ ἐνδεδυμένον ἔνδυμα γάμου, χεῖρας ἢ πόδας δεθεὶς εἰς τὸ σκότος ἐξΦῶ, ἀντὶ Φωτισμοῦ ἢ θείας χάριτος κοινωνίας, τὴν ἐμοὶ κατάλληλον τῆ σκότους καταδικασθεὶς κατοίκησιν. ἀλλὰ τί παθω; ἀναξίως μὲν τῶν τοιούτων Φρικωδεστάτων μυσηρίων μετέχων, τοιαύτας, ἢ τούτων χείρονας προσδοκῶ τὰς εὐθύνας ὑΦέξειν· ἀμέτοχος δὲ πάλιν τούτων ἐσθ' ὅτε διαμένων ἐπιτολὺ, προβαλλόμενος τὸ ἀνάξιον, εἰς βάθος, ὡς εἰπεῖν, τῶν κακῶν ἐμπίπτων, καταΦρονῶ, ἢ ταῖς αὐταῖς κολάσεσιν, ἢ ἢ μείζοσι, ἢ ἔτως ὑπόδικος γίνομαι.

Στενά μοι τοίνυν τὰ τῆ πράγματος ἐκατέρωθεν, δι, ὃ ἢ, πρὸς σὲ καταΦεύγω τὴν κραταιοτάτην ὄντως, ἢ ἀπροσμάχητον βοηθὸν, Σπαγχνίσθητι ἔν, Ὑπεραγνε Θεομῆτορ, ἐπ ἐμοὶ, ἢ χρησαμενη τῆ

πρὸς

πρὸς τὸν σὸν υἱὸν μητρικῇ παῤῥησίᾳ σου· ἄφεσιν μέν μοι τῶν προγεγονότων σφαλμάτων ἐξαίτησαι, ἄφλεκτον δέ με τῷ καυστικῷ πυρὶ, τῶν αὐτῷ ζωοποιῶν μυστηρίων ἀνάδειξον. μᾶλλον μὲν οὖν ὡς τὸ βέλεσθαι τὸ δύνασθαι συντρέχον ὑπερφυῶς κεκτημένη, καθαρθῆναι καὶ φωτισθῆναι τῇ κοινωνίᾳ τούτων ἀξίωσον. καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου ἐν μετανοίᾳ, καὶ ἀγνείᾳ, καὶ ταπεινώσει διελθεῖν εὐόδωσον, ἐν ἔργοις, ἐν λόγοις, ἐν λογισμοῖς, καὶ ἐν πᾶσι ψυχῆς καὶ σώματος τοῖς κινήμασιν ἀεὶ συμπαρεῦσα, διευθετοῦσα, προϊσαμένη, χειραγωγοῦσα, τὰς ἐναντίας ἀποτρεπομένη δυνάμεις, καὶ ὡς δεῖλον, εἰ καὶ ἀχρεῖον· τῆς σῆς χρηστότητος, παντοίως περιποιουμένη τε, καὶ φυλάττουσα.

Ναὶ Δέσποινα παντευλόγητε, μὴ ἀποστρέψῃς κενὰς, τὰς ἀναξίως μου, καὶ οἰκτροτάτας δεήσεις· ἀλλὰ κἂν τῷδε βίῳ, καὶ ἐν τῇ ἐξόδῳ τῆς ταλαιπώρου μου ψυχῆς, καὶ ἐν τῇ μελλούσῃ φοβερᾷ, καὶ ἀδεκάστῳ κρίσει, παρεσόμοι συμμαχοῦσα, καὶ τῶν ἀπευκτῶν ῥυομένη πάντων· ἵνα χάριτι σεσωσμένος, εὐλογῶ, καὶ δοξάζω σε, καὶ ταῖς σαῖς αὐγαῖς φωτιζόμενος, πρὸς ὕμνον, πρὸς δόξαν, καὶ προσκύνησιν ἀνατείνωμαι τῆς παναγάθου, παντουργοῦ τε, καὶ μακαρίας Τριάδος, εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Β΄. εἰς τὸ ἅγιον Πνεῦμα τοῦ προῤῥηθέντος Νομοφύλακος Ἰωάννου τοῦ Εὐγενικοῦ.

Πάρακλητε ἀγαθὲ, τὸ Πνεῦμα τὸ ἅγιον· τὸ Πνεῦμα τῆς ἀληθείας· τὸ ἐκ τοῦ Πατρὸς ἀφράστως, καὶ ἀπερινοήτως ἐκπορευόμενον, τὸ συμπληρωτικὸν τῆς ἁγίας, καὶ ζωαρχικῆς Τριάδος, τὸ ἑνὸς Θεοῦ ἡμῶν· τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, ὁ ἀληθῶς ἀληθὴς Θεὸς, καὶ θεοποιὸς· ὁ ἁγιάζων, καὶ φωτίζων, καὶ ναοποιῶν σεαυτῷ τὰς ἀξίας τῆς σῆς ὑποδοχῆς καὶ χάριτος· Ὁ συνδημιουργὸς τῷ πρώτῳ Νῷ, καὶ Λόγῳ, πάσης νοητῆς τε καὶ αἰσθητῆς κτίσεως· Ὁ συνευδοκήσας ἐν τῇ πρὸς ἡμᾶς ἐπιδημίᾳ, καὶ σαρκώσει τοῦ συναϊδίου σου Λόγου, καὶ συναγιάσας τὴν φύσιν ἡμῶν, καὶ μετὰ τὴν ἔνδοξον αὐτοῦ εἰς οὐρανοὺς ἀνάληψιν, κατελθὼν ἀ-

σιω-

σιωδῶς ἐπὶ τῆς γῆς. ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν. καὶ ἐν εἰδει πυρίνων γλωσσῶν ἐπιφανεὶς τοῖς ἁγίοις Ἀποστόλοις, καὶ ἐμπλήσας αὐτοὺς τῆς ἀφράτου χάριτος, καὶ δυνάμεως, καὶ δι' αὐτῶν τὴν οἰκουμένην ἅπασαν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ὁδηγήσας.

Αὐτὸς, οὐράνιε βασιλεῦ Φιλάνθρωπε, Φιλόδωρέ τε, καὶ μεγαλόδωρε, εὐσυμπάθητε, καὶ πολυέλεε, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς· ἐπίβλεψον εὐμενῶς ἐξ ἱερῶν ὑψωμάτων τῆς ἁγίας δόξης σου, ἐπὶ τὴν ἐμὴν ταλαιπωρίαν, καὶ ταπεινότητα, ἐν τῇ παρούσῃ ἡμέρᾳ, καὶ ὥρᾳ, καὶ ἐν παντὶ καιρῷ, καὶ τόπῳ· ἐν ᾧ ἀναξίως ἐπικέκλημαι τὸ σὸν πανάγιον, καὶ προσκυνητὸν ὄνομα. καὶ μὴ βδελύξῃ με Φιλάγαθε, διὰ τὰς ἀπὸ βρέφους μέχρι τοῦ νῦν ἀτόπους πράξεις, καὶ ἀλογίας, καὶ ἁμαρτίας μου. Ἀλλ' ὡς συνήργησας πάλαι τῷ Μανασσῇ, καὶ τῷ Δαβὶδ πρὸς μετάνοιαν· ὡς τῷ εὐγνώμονι λῃστῇ ἐπὶ σταυροῦ· ὡς τῇ Πόρνῃ πρὸς ἐπιστροφὴν ἀγαθήν. ὡς ἐνέπνευσας τοῖς ἁγίοις Προφήταις, καὶ Θεολόγοις, καὶ ἐλάλησας δι' αὐτῶν. ὡς καὶ νῦν, καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος, πᾶσι τοῖς βουλομένοις, πρὸς ἀρετὴν, καὶ θεῖον φόβον ἐπιχωρεῖς· οὕτω καμοὶ τῷ ἁμαρτωλῷ βοήθησον, ἐπὶ τὴν σὴν ἱλαρότητα, καὶ τὴν χάριν προσέχοντι.

Ἀνάγαγέ με τῷ βυθῷ τῆς ματαιότητος, καὶ τῆς ἀβύσσου τῆς ἀγνοίας, καὶ τῆς πωρώσεως, ὁ ἐλευθερώσας τὸν κόσμον ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ. Ἁγίασόν με τῇ ζωοποιῷ δυνάμει σου, ἡ ἁγιαστικὴ φύσις, τὸ προαιώνιον φῶς, πηγὴ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζουσα. φλέξον μου τὸ ἄμετρον σωρευτὸν τῶν παραπτωμάτων, ὁ συμφλέξας τὰς μηχανὰς τοῦ ἀποστάτου δράκοντος, τῷ πυρὶ τῆς ἀΰλου σου Θεότητος. Σύντριψον τὴν κεφαλὴν αὐτοῦ ὑπὸ τοὺς πόδας μου ἐν εἰρήνῃ. ὅπλοις φωτὸς περιοχύρωσον. θυρεῷ πίστεως περιφράξον. θώρακι δικαιοσύνης περιχαράκωσον. ῥήματι Θεοῦ τὸ σῶμα μου καθάγιασον. Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς ἐμῆς διανοίας ὀλισθηρὸν στήριξον. σέψον με νοητῶς αἰωνίῳ σεφάνῳ δόξης, καὶ τιμῆς τῆς παρὰ σοί. τῷ χορῷ τῶν ἱερῶν ἀρετῶν με καταγλάϊσον. ὁ συνέχων πᾶσαν τὴν δύναμιν τῶν οὐρανῶν. δόξασόν με, Παράκλητε ἀγαθὲ, τοῖς σοῖς ποικίλοις χαρίσμα-

ρίσμασι. δώρησαί μοι Πνεῦμα σοφίας, συνέσεως, βελῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, Φόβυ Θεῦ. θρέψον με τοῖς ἁγίοις συ καρποῖς, ὁ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας ἢ χάριτος. ἐγκρατείᾳ, ἢ ἀπαθείᾳ. τὴν ἐμὴν ζωὴν ἐξασφάλισον. πραότητος πλαρότητι. τὴν καρδίαν ἀγάθυνον. πίστεως σερεότητι, τὴν οἰκίαν τῆς ψυχῆς οἰκοδόμησον. ἀγαθωσύνης γαλήνῃ. τὲς λογισμὲς συντήρησον. χρηςότητος συμπαθείᾳ. τὴν ἀγνώμονά μυ προαίρεσιν μάλαξον. μακροθυμίας ἀνοχῇ. τὴν ῥᾳθυμίαν μυ διόρθωσον. εἰρήνην γλυκεῖαν, ταῖς δυνάμεσι τῆς ἐμῆς ψυχῆς δώρησαι. χαρᾷ τελείᾳ, τὴν ἐξ ἁμαρτίας μοι λύπην ἀφάνισον. ἢ διὰ τῆς εἰς τὸν πλησίον καθαρᾶς ἀγάπης, πρὸς τὴν σὴν ἀγάπην με τελείωσον.

Σὺ, Παράκλητε ἀγαθὲ, τὸν νᾶν μυ σκοτισθόντα τῷ ζόφῳ τῶν παθῶν, τῇ αἴγλῃ τῆς σῆς σωτηριώδες δυνάμεως φώτισον. τὸν λόγον ὑπαχθόντα ἀλογίᾳ, συνέτισον, ἢ καταχρατεῖν τῶν ἀλόγων ὀρέξεων παρασκεύασον· ἢ εἰς ὁδὸν εὐθεῖαν τῦ ἁγίυ συ θελήματος ὁδήγησον. Τὸ πνεῦμά μυ ἐκλεῖπον τῇ ψύξει τῆς ῥᾳθυμίας, ἢ νεκρωθὲν τῷ κρυμῷ τῆς ἁμαρτίας, τῇ ζωογόνῳ συ χάριτι θέρμανον. τὸν θυμὸν τρέψον κατὰ μόνης τῆς ἁμαρτίας, ἢ τῦ ὁλοθρευτῦ ὄφεως. τὴν ἐπιθυμίαν, πρὸς σὲ μόνον τῶν ἐφετῶν τὸ ἀκρότατον. τὸ λογικὸν, οἰκονομεῖν πάντα. ἢ διευθετεῖν κατὰ τὸ σὸν πανάγιον θέλημα· ἢ ἐν Πνεύματι ἢ ἀληθείᾳ με προσκυνεῖν σε τὸν Παράκλητον Θεὸν, ἢ σοὶ λατρεύειν, σὲ δοξολογεῖν, σὲ ὑμνεῖν, σοὶ εὐχαρισεῖν ἐν παντὶ καταξίωσον, ὁ διαπαντὸς εἰς αἰῶνας ὑπὸ τῶν ἁγίων ἀσωμάτων Δυνάμεων ἐν τοῖς ὑψίσοις δοξολογύμενος.

Σὺ, Παράκλητε ἀγαθὲ, Θεὲ ὑπεράγαθε, ὁ τελεσιυργὸς τῶν ἁγίων μυσηρίων τῆς Ἐκκλησίας· διὰ σῦ ἀνεγωνήθην, ἢ ἀνεπλάσθην ἢ ἀνεμορφώθην, ἢ ὠκειώθην Θεῷ. διὰ σῦ βασιλικῷ χρίσματι ἐσημειώθην, ἢ ἐσφραγίσθην ἐν μερίδι Θεῦ ἢ δωρεᾷ τῆς σῆς χάριτος. διὰ σῦ τῆς ἀθανάτυ τραπέζης τῶν ζωοποιῶν μυσηρίων ἠξιώθην, ἢ σύμμορφος γίνομαι Χριςῦ, ἢ Θεὸς κατὰ χάριν. Σὺ τῆς Ἱερωσύνης αὐτυργός. τοῖς ὑπὸ ζυγὸν εἰς σωφροσύνην συνεργός. τοῖς παρθένοις τῆς ἁγνείας χορηγός. τοῖς ἐκδημῦσι τῦ βίυ πρὸς μετάνοιαν ὁδηγός. σύμοι

μοι βοήθησον κινδυνεύοντι, συμμάχησον πῇ ἀφάτῳ δυνάμει σε, Παντοδύναμε. ἀντιλαβοῦ τῆς ἀσθενείας μου, ἢ φεῖσαι τῆς ἀμελείας, ἢ ῥᾳθυμίας μου. Μὴ ἐάσῃς με παίγνιον κεῖσθαι τοῖς ψυχοφθόροις Δαίμοσι· μὴ ἐγκαταλίπῃς με αἰχμάλωτον τοῖς αἰσχίστοις πάθεσιν. Ἀλλὰ δὸς, εὐσυμπάθητε, μέχρι τελευταίας ἀναπνοῆς, ἐν ἁγνείᾳ, ἢ προσοχῇ, ἢ θείῳ φόβῳ, τὸ τέλος τοῦ παρόντος βίου διανύσαντι, ἢ τὰς ἀπαρχὰς τῆς μελλούσης ἀϊδίου ζωῆς, ἢ τρυφῆς, ἐντεῦθεν καθαρῶς πληροφορηθέντι, τῶν ἐρανίων ἀγαθῶν ἐπιτυχεῖν· ἢ σὲ τὸν δεδοξασμένον Παράκλητον Θεὸν δοξάζειν, ἢ εὐχαριστεῖν, ἢ προσκυνεῖν, σὺν τῷ Πατρὶ, ἢ τῷ Υἱῷ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Ζ'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἔσποινά μου Θεοτόκε, ἡ ἐλπὶς, ἢ καταφυγή μου· σὺ γινώσκεις τοὺς λογισμούς, ἢ τὰς πράξεις μου, ἢ τὴν ἀσθένειαν τῆς ταπεινῆς μου φύσεως, ἢ σοὶ τὴν ἐμὴν ψυχὴν παρίστω, ἐρυπωμένην πολλαῖς ἁμαρτίαις, ἢ λογισμοῖς ἀτόποις. Σὺ, Δέσποινα, βλέπεις τὰ ἕλκη τῆς ἐμῆς ψυχῆς, ἢ τὰ τραύματα. Σὺ τὴν ἴασιν βράβευσον· ἐπιχέουσα ῥανίδα τῆς σῆς φιλανθρώπου συμπαθείας· ἐπίβλεψον. Δέσποινά μου Θεοτόκε, ἢ εὐμενῆ ποίησόν μοι τὸν υἱόν σου, ἢ πάντων Θεὸν, τὸν μέλλοντά μου δημοσιεύειν ἐνώπιον Ἀγγέλων, ἢ ἀνθρώπων, τοὺς πονηρούς μου λογισμοὺς, ἢ τὰς πράξεις· δέχεταί σε ὡς Μητέρα, ὁ φιλάνθρωπος, ὑπὲρ ψυχῆς ἁμαρτωλοῦ, ἢ ἀπεγνωσμένης πρεσβεύουσαν, ὡς καταφυγὴν, ἢ μεσίτριαν τῶν ἁμαρτωλῶν. Ἐλέησόν με τὸν χειμαζόμενον τῷ πελάγει τῶν πειρασμῶν, τὸν θαῤῥοῦντα τῷ σῷ ἐλέει, ἢ τῇ σῇ συμπαθεῖ προσασίᾳ· τὸν ἐπιῤῥίπτοντα τὸ τῆς ψυχῆς ὄμμα ἐν τῷ πελάγει τῶν σῶν οἰκτιρμῶν, ἢ προσφέροντά σοι σεναγμὸν ἐκ καρδίας συντετριμμένης. Μὴ παύσῃ ὑπὲρ ἐμοῦ πρεσβεύουσα τῷ ταπεινῷ, ἢ ἀθλίῳ· ἵνα διὰ τῆς σῆς ἀντιλήψεως, ἀξιωθῶ συγχωρήσεως τῶν πολλῶν μου, ἢ δεινῶν πράξεων.

Σὲ γὰρ ἐπὶ τούτῳ προσφύγιον τῶν ἁμαρτωλῶν ἔθετο ὁ Υἱός σου ἢ Θεὸς ἡμῶν, ὁ πάσης κτίσεως δημιουργὸς, ἢ Δεσπότης, Καὶ ἵνα, διὰ τῆς σῆς

τῆς σῆς πρὸς αὐτὸν μεσιτείας, τυχὼν σωτηρίας, μεγαλύνω, ἢ δοξάζω τὸ ὑπεράγιον, ἢ ὑπέρτιμον ὄνομα σὲ τῆς ὑπερευλογημένης, ἢ ὑπεράγνε Θεομήτορος, τῆς παναδόξε Παντανάσσης· νῦν, ἢ ἀεὶ, ἢ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Β'. καταυκτικὴ εἰς τὴν παναγίαν Τριάδα.

Ὁ ἐν Μονάδι Φύσεως τρισσοφαὴς Θεὸς· ὁ ἐκ τοῦ μὴ ὄντος παραγαγὼν τὰ σύμπαντα, ἢ εὐταξίᾳ, ἢ συμμετρίᾳ ταῦτα διακοσμήσας, ἢ τῷ ἡλιακῷ φωτὶ καταυγάσας, ἢ διαπλάσας ἡμᾶς κατ' εἰκόνα σὴν, ἢ ὁμοίωσιν· αὐτὸς ὑπεράγαθε Θεὲ, λάμπρυνον τοὺς ὀφθαλμοὺς ἡμῶν. τὰς ἀκοὰς κάθαρον. τὰς λοιπὰς αἰσθήσεις ἀνάῤῥωσον. διασκέδασον πᾶσαν ἀχλὺν ἀμαθείας. Φώτισον τὸν νοῦν ἡμῶν τοῖς νεύμασί σε. ὁδήγησον ἡμᾶς ταῖς λαμπηδόσι τῆς θείας σε ἐπιπνοίας, πρὸς διάκρισιν ἀληθοῦς τε ἢ ψεύδους, πρὸς ἀποδοχὴν τῶν ἀγαθῶν, πρὸς φυγὴν τῶν φαύλων πρὸς ἀποδοκιμασίαν τῶν ἐπιβλαβῶν. πρὸς αἵρεσιν τῶν ἐπωφελῶν. ὅτι δίχα τῆς θείας σε φωταγωγίας, πάντως τυφλώττοντες, οὐκ ἔχομεν διακρῖναι, ἔτε ἐν τοῖς σοχασμοῖς τἀληθὲς, ἔτε ἐν ταῖς πράξεσι τὸ καλὸν, ἔτε ἐν τοῖς αἱρετοῖς τὸ λυσιτελὲς· ἀλλὰ τοῖς τῶν πραγμάτων προσχήμασιν ἀπατώμενοι, μυριάκοις πλημμελοῦμεν.

Ἔγειρον, τὸν μὲν νοῦν, πρὸς κατάληψιν τῶν ἀναγκαίων· τὴν δὲ γλῶτταν, πρὸς ὑπαγόρευσιν τῶν χρησίμων. κατεύνασον τὰς ἑρμὰς τῶν παθῶν, τὰς καταθολούσας τὸν ἡμέτερον νοῦν. χαλίνωσον τὸ θυμοειδὲς, ἢ τὸ παρ' αὐτῷ φιλόνεικον παῦσον, ἢ τὸ μνησίκακον ἄνελε· μετατρέπων αὐτὰ πρὸς θεῖον ζῆλον, ἢ θεοσεβῆ τῆς πίστεως ζέσιν, ἢ πραότητα, ἢ ἀνεξικακίαν. Κατάσειλον τὸ ἐπιθυμητικὸν, ἢ τὸ παρ' αὐτῷ φιλόϋλον, ἢ φιλοκερδὲς ἀναχαίτισον· μεταβάλλων αὐτὰ εἰς περιποίησιν ἀρετῆς, ἢ ἀγάπην τοῦ πλησίον· εἰς ἔρωτα χρισιανικῆς προκοπῆς ἢ ἐπιδόσεως, ἢ εἰς ἔφεσιν τῶν αἰωνίων ἀγαθῶν. Κύριε, τῇ τῶν ἀρετῶν μετριότητι διακόσμησον τὰ ἡμέτερα. κράτυνον ἀνδρείᾳ ἢ ῥώμῃ τὸ ἀσθενὲς ἡμῶν. σβέσον τὰς τῆς σαρκὸς ἀρέ-

ξεις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξεις, ἡ πάσης ἀχρασίας, ἡ ἀσωτίας ἡμᾶς ἀπάλλαξον, σωφροσύνην ἡμῖν, ἡ σεμνότητα δωρούμενος· χάρισαι ἡμῖν τὴν βαθμὴν τῆς δικαιοσύνης, τὴν ἐκάστῳ τὸ δίκαιον ἀπονέμουσαν. σήριξον τὴν ἡμετέραν φρόνησιν ἐν μονιμότητι τῶν ὀρθῶς κρινομένων.

Φύλαξον ἡμᾶς Κύριε, ἀπὸ ἐπιβουλῆς· ἀπὸ αἱφνιδίου λύμης, ἡ πτώσεως· ἀπὸ συκοφαντίας πονηρῶν· ἀπὸ ὀργῆς τυράννων· ἀπὸ διαβολικῶν πειρασμῶν, ἡ ἀπὸ παντὸς ἀνιαροῦ φρούρησον ἡμᾶς· ὅπως, κατὰ τὰς ἐντολάς σου τὸν δρόμον τῆς παρούσης ζωῆς θεαρέστως διανύσαντες, τὸ δωρηθὲν ἡμῖν τάλαντον ἀκιβδήλως φυλάξωμεν, ἡ διὰ τὰς ἀπείρους εὐσπλαγχνίας, ἡ οἰκτίρμους συμπαθείας, ἄξιοι γενώμεθα τῆς θείας σου χάριτος, ἡ τῆς αἰδίου σου μακαριότητος· ἀνυμνοῦντες ἀκαταπαύστως, σὲ τὸν Πατέρα, ἡ τὸν Υἱὸν, ἡ Πνεῦμα τὸ ἅγιον, τὸν ἕνα Θεὸν ἡμῶν, ᾧ ἡ δόξα, ἡ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Η'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἱκετήριος.

Ἔχω τοίνυν, εὐμενεστάτη Δέσποινα ἀγαθὴ, τὴν οἰκτράν μου δέησιν, ἐξ ἀχρείου σώματος προσαγομένην σοι, ὡς πάντα ἐπισαμένη, ἡ μάλιστα τὴν ἐμὴν ἀσθένειαν· ἐγὼ γὰρ διὰ σοῦ καταφεύγω εἰς τὴν ἀγαθότητα τοῦ υἱοῦ σου, ἡ διὰ σοῦ τῆς πρὸς θάνατον φερούσης ἀνεκλήθην τρίβου. Κυρία μου. Δι' ὃ ἡ τὰς πράξεις ἡ τὰ κινήματά μου, τὰ ἐν νυκτὶ, ἡ ἐν ἡμέρᾳ, τὰ ἐν ἔργῳ, ἡ λόγῳ, τὰ ἐν γνώσει ἡ ἐν ἀγνοίᾳ, καλῶς ἐπίσασαι. Σὺ λοιπόν με κυβέρνησον, (σὲ γὰρ μεσίτιν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν προεχειρισάμην.) σύ με ἐλέησον. σύ μοι βοήθησον. σύ μοι γαῦε συνεργὸς ἐν παντὶ ἔργῳ ἀγαθῷ, κατὰ τὸ θέλημα τοῦ υἱοῦ σου ἡ Θεοῦ ἡμῶν. Σὺ γινώσκεις, ὑπεραγάθε Δέσποινα, ὅτι ἐξ ἀπαλῶν ὀνύχων, ἡ ἐξ αὐτῶν τῶν μητρικῶν ἀγκάλων ἐπὶ σὲ ἐπερρίφην. σοὶ ἐπεδόθην. εἰ ἡ κακῶς ἐμαυτὸν διώκησα, ἡ οὐκ ἔγνων ἄλλην καταφυγὴν, ἢ προσασίαν, ἢ ἀντίληψιν, ἢ πρὸς Θεὸν μεσίτιν, εἰ μὴ σέ.

Καὶ τανῦν Δέσποινά μου, πάσας τὰς ἀτόπους μου πράξεις ἐξαγγέλλω σοι

λωσοι· ἐλέησόν με, ἡ ἐξάλειψον τὰς ἁμαρτίας μου. Σὺ γὰρ γινώσκεις, Δέσποινά μου Θεοτόκε, ὅτι ὡς πρόβατόν εἰμι ἀπολωλὸς· ἡ ὡς πετεινὸν ξένον. μὴ ἔχων πῦ τὴν κεφαλήν κλίνω, εἰμὴ εἰς σὲ τὴν Μητέρα τῦ Χριςῦ ἡ Θεῦ μου. Σύ μου εἶ. Δέσποινα βοηθός. σύ μου ἱλαςήριον. σύ μου σκέπη. σύ μου πρὸς Θεὸν ἐγγυητής. Σύ μου πατήρ. σύ μου Μήτηρ. σύ μου ὁδηγός. ἐν σοὶ πᾶσάν μου τὴν ἐλπίδα ἀνατίθημι. Σὺ γινώσκεις τὴν ἀπορίαν μου. ὅτι ἄλλον ἐκ ἔχω, εἰμὴ Σὲ, ἡ τὸν ἐκ σῦ τεχθέντα Χριςόν. Διὰ τῦτο μὴ βδελύξῃ· μηδὲ ἀπώσῃ με, Ἁγαθή· μηδὲ νικήσῃ τὸ πλῆθος τῶν κακῶν μου τὴν σὴν ἀγαθότητα. ἔχεις γὰρ πέλαγος εὐσπλαγχνίας, ὡς τῦ ὑπερευσπλάγχνου Θεῦ Μήτηρ ὖσα. μόνον θέλησον, ἡ ἐγὼ ἐσωθην. ἐδεὶς ἀντιτάσσεται σοι. Μήτηρ γὰρ εἶ τῦ τὰ πάντα πεποιηκότος Θεῦ μου Ἰησῦ Χριςῦ· οἶδα ὅτι πολλαί εἰσιν αἱ ἁμαρτίαι μου· ἡ ἐκ εἰμι ἄξιος ἀτενίσαι, ἡ ἰδεῖν τὸ ὕψος πῦ ὐρανῦ ἀπὸ τῦ πλήθες τῶν ἀνομιῶν μου. ἀλλ' ἐὰν αὐτὴ ἐπιβλέψῃς, ἐδεὶς ὁ κωλύων.

Βοήθησόν μοι, Δέσποινα Θεοτόκε, πῷ ἀπαρρησιάςῳ. ἡ μὴ λογισθείη μοι ἡ τόλμη εἰς ἁμαρτίαν. ἀλλὰ μᾶλλον σύγγνωθι, ἡ δός μοι κατανυξιν, δός μοι πηγὴν δακρύων, δός μοι στεναγμὸν ἡ συντριβὴν καρδίας, ἵνα κλαύσω τὰς ἁμαρτίας μου. ἐγὼ γάρ εἰμι ὁ ὑπὲρ πᾶσαν Φύσιν ἀνομήσας ἐνώπιον τῦ σῦ υἱῦ ἡ Θεῦ. ἡ οἶδα, Δέσποινά μου, ὅτι ἀναπολόγητός εἰμι, ἡ ἀνάξιος πάσης Φιλανθρωπίας, ἡ ἄξιος πάσης τιμωρίας. Διὰ τῦτο εἰς τὸ ἔλεος τῦ σῦ υἱῦ διὰ σῦ καταφεύγω, τῦ ἀγαθῦ μου Δεσπότυ, ἡ Ποιητῦ. Σὺ τοίνυν με κυβέρνησον, ἡ δίδαξόν με Θεοτόκε. δωρεὰν ζητῶ τὸ σὸν πλούσιον ἔλεος. ἐλέησόν με, ὡς θέλεις· μὴ ἐκβάλῃς με ἀπὸ τῦ σῦ προσώπυ. μὴ ἀπώσῃ με τῆς σκέπης σου. μηδὲ ἀποξενώσῃς με τῆς εὐσπλαγχνίας σου. ἐλέησόν με τὸν εἰς σὲ πᾶσάν μου τὴν προσδοκίαν ἔχοντα. ἡ δεῖξον τὴν δυνασείαν σου ἐν ἐμοὶ, Θεοτόκε. ἐὰν γὰρ ἐμὲ σώσῃς τὸν ἁμαρτωλὸν, μεγα σου τὸ ἔλεος. μεγάλη σου ἡ εὐσπλαγχνία. μεγάλη σου ἡ ἀνεξικακία. μεγάλη σου ἡ μακροθυμία. ἐὰν δὲ τὸν ἄξιον ἐλεήσῃς, ἐδὲν θαυμασόν. ἀλλ' ἐμοὶ μᾶλλον βοήθησον. ἐμὲ μᾶλλον οἰκτείρον. ἐμοὶ δὸς χεῖρα τῷ χαμαὶ κειμένῳ. τῷ ἀμελεῖ. τῷ ῥαθύμῳ. τῷ ἀχαρίςῳ. τῷ

σκληρῷ, τῷ ἀκατανύκτῳ, τῷ ἐπιόρκῳ, τῷ καταλάλῳ, τῷ ἀσώτῳ, τῷ βλασφήμῳ, τῷ λοιδόρῳ, τῷ συκοφάντῃ, τῷ πάσης κακῆς πράξεως, καὶ πονηρῶν λόγων, καὶ αἰσχρῶν λογισμῶν μεμεσωμένῳ, καὶ πάσης ἀγαθῆς πράξεως ξένῳ καὶ ἀλλοτρίῳ, καὶ ἀξίῳ πάσης χολάσεως καὶ τιμωρίας.

Νοῦ, Δέσποινά μου ὑπεραγία Θεοτόκε, σπλαγχνίσθητι ἐπ' ἐμοὶ τῷ ἀπόρῳ, καὶ ἐλεεινῷ, καὶ ποίησον μετ' ἐμοῦ τὰ ἐλεήσαντα τὰ πλοῖα, ἵνα σεσωσμένος, ὑμνῶ τὸν ἐκ σοῦ σαρκωθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν. καὶ Σὲ μεγαλύνω τὴν ἐμὴν σωτηρίαν, τὴν ἐμὴν ἀντίληψιν, τὴν ἐμὴν παραμυθίαν, τὴν ἐμὴν Φυλακὴν, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Βοήθει μοι, ἁγία Δέσποινα μου, βοήθει μοι, τριπλασιαζω τὴν Φωνήν· βοήθει μοι. Καὶ ἀξίωσόν με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, ποιεῖν τὸ θέλημα τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ μου, καὶ θεραπεύειν αὐτὸν, καὶ δουλεύειν ὡς δεῖ, καὶ ὕστω τελειωθῆναί με, Δέσποινά μου Θεοτόκε, καὶ ὑπὸ ἀϊδίων Ἀγγέλων ὁδηγηθῆναι εἰς τὰς τότε θείας καὶ Φωτοειδεῖς μονάς, διὰ τῆς σῆς εὐπροσδέκτου πρεσβείας· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ, καὶ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙΟΔΟΣ Γ'.

Εὐχὴ Γ'. εἰς τὸν ἄναρχον Θεὸν καὶ Πατέρα, Νικηφόρου τοῦ Βλεμμίδου.

Δέσποτα Παντοκράτορ, ὁ ὑπεράναρχος, καὶ ὑπέρζωος, καὶ ὑπερθεος Νοῦς, ὁ Πατήρ· ἡ ὑπερώνυμος ὕπαρξις, ἡ ἀΐδιος, καὶ κρυφία, καὶ ὑπὲρ νοῦν πηγὴ τῶν ζωηρρύτων, καὶ ἀρχιφώτων πηγῶν τῆς ἀγαθότητος καὶ τῆς δόξης. Ὁ κυρίζων ἀχράντοις, ἐν ἀφάτῳ ἰσχύϊ τοῦ παναγίου σου Πνεύματος, διὰ τὸ παντυργοῦν σου Υἱοῦ καὶ Λόγου, ὡς οἶδας αὐτὸς. καὶ μετεωρίσας τὴν γῆν ἐπ' ὕδατος, καὶ νέφεσιν ἐνειλήσας τὴν ἄβυσσον. ἡ ὑπὲρ ἔννοιαν ἀγαθότης. ἡ ἀπειροτάτη Φιλανθρωπία. ὁ Θεὸς πάσης παρακλήσεως καὶ ἐλπίδος. Ὁ τῷ Πνεύματί σου τῷ ἁγίῳ, πρότερον μὲν τὰς Δυνάμεις τῶν οὐρα-

οὐρανῶν σερεώσας. Ἔπειτα δὲ, αὐτὸ τοῖς ἁγίοις Ἀποστόλοις ἐν εἴδει πυρὸς ἐκχέας. ὁ τὸ μέγα, καὶ Φρικτὸν τῆς ἐνσάρκου οἰκονομίας τῆ μονογενῆ σου Υἱῆ, καὶ Θεῆ ἡμῶν εὐδοκήσας τελεσιουργηθῆναι μυστήριον, διὰ τὴν σωτηρίαν ἡμῶν. Ὁ ὑΦ' ἡμῶν τῶν ἁμαρτωλῶν δυσΦημέμενος, καὶ μὴ ὀργιζόμενος. καταΦρονούμενος, καὶ ἀνεχόμενος. ἀθετούμενος, καὶ μακροθύμως Φέρων. καὶ πάντα παρέχων ἡμῖν. τοιούτοις οὖσι, πλεσίως εἰς ἀπόλαυσιν, πάντας εἰς μετανοιαν ἀγαγειν βελόμενος. ὁ πᾶσαν τὴν κτίσιν εὐεργετῶν ἀεὶ τῷ ἐλέει σου, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου, πλεσίας τοῖς ἐπικαλεμένοις σε παρέχων τὰς δωρεάς.

Αὐτὸς, Πανάγαθε Δέσποτα, πρόσδεξαι καὶμῆ τὰς δεήσεις τῆ ἀχρείω δέλη σου, τῆ εἰς σὲ καὶ μόνον ἐλπίζοντος. οἰκτειρόν με, καὶ τῷ σῷ Φόβῳ πᾶσάν μου ἀσΦάλισον τὴν ζωήν. ἀΦάνισον τῶν ἁμαρτιῶν μου τὰ πονηρὰ Φορτία. Φώτισόν μου τὰ ὄμματα τῆς Ψυχῆς. τὰς σάρκας μου ἁγνισον. τὴν διάνοιάν μου συνέτισον. τὴν καρδίαν μου ταπείνωσον. ἀπόσρεψον τὰς ὀΦθαλμάς μου τῆ μὴ ἰδεῖν ματαιότητα. » Θῆ Φυλακὴν τῷ ςόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. ῥῦσαί με ἀπὸ πάντος ἔργου μωμητοῦ, καὶ λογισμοῦ βεβήλου. ἐνίσχυσόν με ἀποσρεΦεσθαι λογισμῷ βεβαίῳ, πᾶσαν ἡδύτητα γεηράν. εὐόδωσόν μου διανῦσαι τὴν σεσὴν καὶ πεθλιμμένην ὁδόν. ἕλκυσόν μου πρὸς οὐρανὸν τὸ Φρόνημα. δός μοι δάκρυα μετανοίας· ἵνα πενθῶ διὰ τὰς πρότερον γενομένας μοι ἀνομίας. ἐνίσχυσόν με εἰς δοξολογίαν σὴν, καὶ τῆ μονογενῆ σου Υἱῆ, καὶ τῆ παναγίᾳ, καὶ ζωοποιῆ σου Πνεύματος.

Καταξίωσόν με ταῖς ἀρεταῖς ἐπὶ τῆς γῆς, ὡς ἐν οὐρανῷ πολιτεύεσθαι. Καὶ ἐπὶ πᾶσι τούτοις, ἔνδυσόν με θώρακα ἰσχυρὸν, τὴν μέχρι τέλους ὑπομονήν. Καὶ ἐπάιρον, Δέσποτα, τὴν σαθρότητα τῆς ὀλισθηρᾶς μου προαιρέσεως, ἐξῶτος ἐνώπιον τῆς ἁγίας δόξης σου, καὶ ἀπεκδεχόμενός τὸ παρὰ σοῦ μέγα, καὶ πλούσιον ἔλεος. Ὅτι τὸ ἔλεός σου, Κύριε, μέγα, καὶ κραταιὸν ἐπὶ πάντας τοὺς ἐλπίζοντας ἐπὶ σέ. Πεποιθα ἐπὶ τὸ ἔλεός σου. οὐκ ἔχω τῷ ἀτενίσαι, πλὴν τῆ ἐλέους σου. » Τὸ ἔλεός » σου κατέναντι τῶν ὀΦθαλμῶν μου ἐςί. Τὸ ἔλεός σου διαπαντὸς ἀντιλά» βοιτό μου. τὸ ἔλεός σου καταδιώξαι με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μβ. τὸ ἔλεός σε προφθάσαι με. ἐν τῷ οὐρανῷ τὸ ἔλεός σε. πλήρης ἡ γῆ τοῦ ἐλέους σε. ῥῦσαί με Κύριε ἀπὸ πάσης ἐπιβουλῆς ἀοράτων, καὶ ὁρατῶν δυσμενῶν. ἀπὸ παντὸς κινδύνου ψυχικοῦ καὶ σωματικοῦ. καὶ ἀπὸ πάσης μου αἰσχύνης τῆς ἐκ τῶν παθῶν εἰς τὸ παντελὲς ἐλευθέρωσον.

Προσδέξαί μου πάσας τὰς προσαγομένας σοι δοξολογίας, καὶ αἰνέσεις, καὶ δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου. καὶ δόξασον ἐν ἐμοὶ τὸ πανάγιόν σου ὄνομα. Περίφραξόν με Δυνάμεσιν ἱεραῖς, ὡς ἂν κατοχυρούμενος, καὶ ὑπ' αὐτῶν σοφιζόμενος τὰ συνεῖσοντα πάσαις μὲν πολεμίων βολίσιν ἄτρωτος διαμένω· ἐν πάσῃ δὲ γνώσει, καλῶς καὶ ἀνεπιλήπτως διάγω. Πᾶν νόημα, πᾶντα λόγον, πᾶσαν πρᾶξίν μου πρὸς τὸν σὸν πανάγιον κατεύθυνον θέλημα, κατὰ πάντα ἐνοικοῦντος τοῖς σωτηρίοις νόμοις σου. Σοῦ γάρ ἐστι τὸ ἔλεος, σοῦ τὸ κράτος, σοῦ ἡ δύναμις, σοῦ ἡ ἐξουσία. καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ Θ'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἐγὼ οἶδα καὶ πέπεισμαι ἀκριβῶς, ἄχραντε Θεοτόκε, ὅτι οὐκ εἰμὶ ἄξιος ἀτενίσαι ὅλως, ἔτε ἱκανὸς ἰδεῖν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, ἀπὸ τοῦ βάρους τῶν ἐμῶν καταπαμπτόμενος ἁμαρτιῶν. Καὶ δίκαιόν ἐστιν, ἐμὲ τὸν ἄσωτον, ἐμὲ τὸν βέβηλον, τὸν ὑπὲρ πάντα ἄνθρωπον ἁμαρτήσαντα, μισεισθαι, ὡς βέβηλον ὑπὸ σοῦ τῆς καθαρᾶς, ὑπὸ σοῦ τῆς ἀμώμου, ὑπὸ σοῦ τῆς ἀσπίλου καὶ ψυχὴν, καὶ σῶμα. Ἀλλ' ἐπειδὴ Μήτηρ ἐδείχθης τοῦ μὴ δικαίους ἐλθόντος καλέσαι ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Ἰδοὺ Φόβῳ προσέρχομαί σοι, συγχώρησιν αἰτούμενος λαβεῖν διὰ σοῦ, τῶν ἐμῶν ἀμυθήτων πταισμάτων.

Μὴ οὖν παρίδῃς με, Δέσποινα Θεοτόκε, τὸν ἀμελῆ, τὸν ἀκάθαρτον, τὸν ἀνάξιον τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ ἄξιον πάσης χολάσεως καὶ τιμωρίας· τὸν ὑπὲρ πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν ἁμαρτήσαντα· ἀλλὰ, τὴν τοῦ ἀγαθοῦ Υἱοῦ καὶ Θεοῦ σου μιμησαμένη εὐσπλαγχνίαν τε καὶ φιλανθρωπίαν, ἐπίδε ἐπ' ἐμὲ ἵλεως σοῖς ὄμμασι, καὶ δόξαι μου τὴν εὐτε-

λῆ,

λῆ, ἡ ῥάθυμον ταύτην δέησιν· ἡ ταύτην τῷ σῷ Υἱῷ ἡ Θεῷ προσάγουσα, περιποίησόν μοι συγχώρησιν, πάναγνε, ὧν ἀφρόνως ἐν τῷ βίῳ ἐτέλεσα· ἐνδυναμοῦσά με ταῖς πρὸς τὸν Υἱόν σε εὐπροσδέκτοις δεήσεσι, προθύμως φθάσαι ἡ πρὸς τὰς μεσημβρινὰς, ἡ νυκτερινὰς, μεσονυκτίους τε, ἡ ἑωθινὰς λειτουργίας. Ναί, Δέσποινα Θεοτόκε, μὴ ἀπώσῃ με τὸν ἐγκαρδίους σου αγμούς. μὴ παρίδῃς με τὰς ὀδυρμούς· μὴ παραβλέψῃς με τὸν διάπυρον πρὸς σὲ πόθον· μὴ σβέσῃς με τὴν πρὸς σὲ προσδοκίαν· μὴ ἀποβάλῃ τὴν οἰκτράν με δέησιν· μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου· ἵνα μὴ ὁ πονηρὸς ἐχθρὸς τῆς σῆς σκέπης, ἡ ἀντιλήψεως ἔρημον, ἡ γυμνόν με εὑρὼν, εἰς τέλος ταπεινώσῃ ἡ καταπίῃ με.

Διὰ τοῦτο προφθασον ἡ ἀντιλαβοῦ μου, Παναμωμε, τοῦ ἁμαρτωλοῦ ἡ ταπεινοῦ· ἡ λύτρωσαί με τῆς πικρᾶς τυραννίδος τοῦ Διαβόλου· ῥῦσαί με τῆς τῶν πονηρῶν Δαιμόνων ἐνέδρας, ἡ ἐπιβουλῆς· ἡ ἀξίωσόν με ἀπροσκόπως βιῶσαι· ἡ τῆς ἐρανίου τυχεῖν βασιλείας· ἔχεις γὰρ τὸ δύνασθαι, ὡς Μήτηρ ἑνὸς Θεοῦ· ὅπως κἀγὼ διὰ σοῦ σωτηρίας ἐπιτύχω, μεγαλύνω διαπαντὸς, ἡ δοξάζω σου τὴν βεβαίαν ἀντίληψιν. Ὅτι εὐλογημένη ὑπάρχεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Γ'. εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἐφραίμ.

Ὁ Ἀναμάρτητος Υἱὸς τοῦ Θεοῦ· ὁ ἐκουσίᾳ βουλῇ σαυρὸν ὑπομείνας σωματικῶς ἡ σφαγεὶς ὑπὲρ τῆς σωτηρίας ἡμῶν τῶν ἁμαρτωλῶν ἡ ἀδιαφθόρως τῇ σαρκὶ γευσάμενος θανάτου· ἵνα σώσῃς τὴν ἔκπτωτον φύσιν ἡμῶν, καθειρχθεισαν ἐν τοῖς κατωτάτοις τῆς γῆς· ὁ νεκρὸς ἐραθεὶς ἡ ζωὴν πηγάσας τῷ κόσμῳ σου, ἡ νεκρώσας τὸν θανατον ἡ ὡς σκηνὴν καταλύσας τοῦ ᾅδου τὸ δεσμωτήριον· ὁ ὄμβρος τῆς ἀφθαρσίας· ὁ ἐκ τῆς θείας ἀσπαρτος ὑπερτιμος Μαργαρίτης· ὁ ζωηφόρος βότρυς γλυκασμὸν ἀποσάζων τῆς σωτηρίας παγκόσμιον· Τὸ φῶς τὸ ἀληθινὸν, ἡ ἀνέσπερον· ὁ τοῦ Θεοῦ ἡ Πατρὸς λόγος· ἡ σοφία· ἡ δύναμις· τὸ ἀπαύγασμα τῆς δοξης αὐτοῦ· ἀκατάληπτε Ἰησοῦ, ἡ ἀνεξερεύνητε Χριστέ· ὁ μόνος οἰκτίρμων, ἡ συμ-

ἡ συμπαθὴς· ἔκχεον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν τὴν πολλήν σε ἀγαθότητα· ἡ δεξάμενός με τὰς ἱκεσίας, ἐξάλειψον τὰ πλήθη τῶν ἀπείρων μου ἀνομιῶν, ἡ ἁμαρτιῶν, ἡ δώρησαί μοι πᾶντα τὰ αἰτήματά μου· μὴ ἀποδοκιμάσῃς με τὸν ἀδιόρθωτον· μὴ ἀποῤῥίψῃς τὸν ῥᾳθυμον, ἡ ἀνυπομόνητον· μὴ εἴπῃς μοι τῷ ἀθλίῳ ἐν τῇ δευτέρᾳ παρουσίᾳ σε, ὅταν κρίνῃς τὸν κόσμον ἅπαντα. Τί ὑπέμεινας δι' ἐμέ; ὅτι ὐκ ἔχω μικράν πω ποτὲ ὑπομονήν.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ Φοβερᾷ, ἡ Φριχτῇ, ἐρεῖς ἡμῖν Κύριε, τοῖς ἁμαρτωλοῖς· οἴδατε ἀκριβῶς, τί ὑπέμεινα δι' ἡμᾶς· ὦ ἄνθρωποι, Θεὸς ὢν δι' ὑμᾶς ἐσαρκώθην· ἀόρατος ὢν, δι' ὑμᾶς ἐπὶ τῆς γῆς ἐμφανῶς ἐβάδισα· δι' ὑμᾶς ἐπείνασα· δι' ὑμᾶς ἐδιώχθην· ἐλιθάσθην· ἡ ἀναμάρτητος ὢν, δι' ὑμᾶς κατεκρίθην· ἡ ἀνέγκλητος ὢν, δι' ὑμᾶς ἐῤῥαπίσθην· ἐνεπτύσθην· ἡ ἀπαθὴς ὢν, δι' ὑμᾶς ἐσαυρώθην· ἡ ἀθάνατος ὢν, δι' ὑμᾶς ἐθανατώθην· θάνατον ὑπέμεινα ἐπονειδίστον· δι' ὑμᾶς λόγχῃ τὴν πλευρὰν ἐκεντήθην· ἡ ὄξος μεμιγμένον ὑσσώπῳ ἡ χολῇ ἐποτίσθην· ἡ ὕτω πάσχων προσηλωμένος ἐν τῷ σταυρῷ, ὐκ ὠργίσθην· ἡ μυκτηριζόμενος, ὐ κατηρασάμην· ἐγὼ ὁ Δεσπότης, ὁ ἀνώτερος ὢν πάντων τῶν ἐγκλημάτων· Ταῦτα πάντα ὑπέμεινα δι' ὑμᾶς· ἵνα ποιήσω ὑμᾶς ἐρανίους, ἡ ἁγίους· βασιλείαν ἐράνιον ἐχαρισάμην· Παράδεισον ἄΦθαρτον ἐδωρησάμην ὑμῖν· πάντας ἀδελφοὺς ἐκάλεσα· τῷ Πατρὶ προσήνεγκα· τὸ Πνεῦμα τὸ ἅγιον κατεπεμψα· Τί ἂν ὑμεῖς ὑπεμείνατε ὦ ἄνθρωποι δι' ἐμέ;

Πρὸς ταῦτα τί ἐρῶ ὁ τάλας ἐγώ; ὁ ἡ πρῶτον πονηρὸς, ἡ ἁμαρτωλὸς, ἡ νῦν ἀσεβὴς ἡ βέβηλος; Τότε, Μάρτυρες μὲν, ἐπιδείξουσι τὰς πληγὰς αὐτῶν, τὰς ῥεβλώσεις, τῶν μελῶν τὰς ἐκκοπὰς, ἡ τὴν εἰς τέλος καρτερίαν αὐτῶν· Ἀσκηταὶ δὲ, δείξουσι τὴν ἄσκησιν αὐτῶν, ἡ ἐπιτεταμμένην νηστείαν, τὴν ἀγρυπνίαν, τὴν ἀκτημοσύνην, τὰ δάκρυα, ἡ τὴν εἰς τέλος ὑπομονὴν αὐτῶν· ἐγὼ δὲ ὁ ῥᾳθυμος ὁ ἁμαρτωλὸς, ὁ ὑπεύθυνος, τί ἔχω δεῖξαι, εἰμὴ τὸν καρπὸν τῆς αἰσχύνης μου; γαστριμαργίαν, Φιλῳδονίαν, πολυλογίαν, πολυυπνίαν, πολυκτημοσύνην, ἀνυπομονησίαν, κενοδοξίαν, ῥᾳθυμίαν, ἀμέλειαν· Εἰ γὰρ ἀπαιτήσεις με λόγον Κύριε, περὶ τῶν δοθέντος μοι πρὸς μετάνοιαν καιρῷ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρᾶ. ἕνεκεν τῆς ἀμελείας μου, ποίαν ἀποδώσω σοι ἀπολογίαν; εἰδὲ μὴ ἕως ἀργὰ λόγου, ὡς γέγραπται; μὴ πονηρῶν λογισμῶν, μὴ μέχρι πονηρῶν ἐνθυμήσεων ἐξετασθήσομαι, ποῖός με τότε φόβος καὶ κλόνος τὸν δειλαιον λήψεται; Ποῖα δὲ μετὰ ταῦτα βάσανος διαδέξεται;

Φεῖσαι Κύριε φεῖσαι εὔσπλαγχνε· φεῖσαι φιλάνθρωπε· φεῖσαι μόνε ἀγαθὲ· μὴ μὴ ἀνάξιον κρίνῃς με τῶν σῶν οἰκτιρμῶν. » μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. μὴ μνησθῇς ἀρχαίων μου ἀνομιῶν, μηδὲ τῶν προσφάτων. » Σοὶ Κυρίῳ τῷ Θεῷ ἡ δικαιοσύνη. ἐμοὶ δὲ ἡ αἰσχύνη τοῦ » προσώπου. Μνήσθητι Κύριε, ὅτι τὰ ἐλέη σου ἀπὸ τοῦ αἰῶνός εἰσιν εἰς » γενεὰν καὶ γενεὰν ἐπὶ παντα τὸν λαόν σου. Μνήσθητι Κύριε, ὅτι σὺ πάντων ἡμῶν ἐγκαθῆς καταφυγὴ, καὶ σωτηρία τῶν ἐλπιζόντων ἐπὶ σε. σπλαγχνίσθητι, καὶ ἐλέησόν με διὰ μόνην τὴν σὴν ἀγαθότητα. σήριξον τὴν παρειμένην μου ψυχὴν τῇ ῥαθυμίᾳ τῆς ἀμελείας, ὁ ἀνορθῶν τοὺς κατερραγμένους. ἰδὲ γὰρ αἱ ἀνομίαι μου μεγάλαι, καὶ ἰσχυραί. καὶ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου πολύ, καὶ ἄπειρον. καὶ ἡ εὐχή μου ἀσθενὴς ὑπάρχει. καὶ ἡ σκληρότης τῆς καρδίας μου ἐξήρανε τοὺς ὀφθαλμούς μου. ἡ ἀναγκη τοῦ σώματος παρέχει μοι προφάσεις ἐν ἁμαρτίαις. καὶ ἡ ἀμέλεια ἀποξηναι τῆς ὁδοῦ πρὸς ἀγει με.

Σὺ οἶδας γινώσκεις, Δέσποτα τὴν ὀλιγωρίαν τῆς ταλαιπωρίας μου. καὶ ὁσημοι πολεμοῦσι πονηραὶ προλήψεις. καὶ βλέπεις τὴν κατ' ἐμοῦ πανωμήχανον κακίαν τοῦ ἐχθροῦ. Ἀντιλαβοῦ μου κατὰ τὸ μέγα ἔλεός σου, καὶ σῶσόν με τὸν ἀσεβῆ, χάριτι, καὶ οἰκτιρμοῖς, Πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων σου τῶν ἁγίων. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ΙΑ'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Π Αναγία Δέσποινα Θεοτόκε, τοῦ κόσμου Κυρία, τὸ καύχημά μου, ἡ ἐλπίς μου, ἡ καταφυγή μου, ἡ προσασία μου, ἡ σκέπη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχέπη, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, κυριευθέντα με ὑπὸ πολλῶν πταισμάτων, ἐλέησον· ἡ δεῖξον τὰ ταχινά σου σπλάγχνα εἰς ἐμὲ τὸν ἁμαρτωλὸν, ἡ παμβέβηλον. ἡ τὸ Φῶς τὸ ἀληθινὸν τεκοῦσα, Φωτισον τὰς νοητὰς ὀΦθαλμὰς τῆς καρδίας μου. ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ. ἡ ἀγαθὴ τῷ ἀγαθῷ, ἡ Φιλάνθρωπος τῷ Φιλανθρώπῳ, ἡ ἐλεήμων τῷ ἐλεήμονος, ἡ πανοικτίρμονος Θεῷ Μήτηρ· δὸς κατάνυξιν, ἡ συντριβὴν ἐν τῇ καρδίᾳ μου. ἡ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν διαλογισμῶν μου. Καὶ δώρησαί μοι κατόδυνον, ἡ ἐπίπονον διάνοιαν ἐν τῇ παρούσῃ δοξολογίᾳ σου. ἡ παράσχου μοι δάκρυα μετανοίας, ἡ κατανύξεως· εἰς τὸ ὑμνεῖν, ἡ δοξάζειν τὸ πανάγιον ὄνομα, τῷ Πατρὸς, ἡ τῷ Υἱῷ, ἡ τῷ ἁγίῳ Πνεύματος, νῦν, ἡ ἀεὶ, ἡ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Γ'. εἰς τὸ ἅγιον Πνεῦμα.

Σοὶ τῷ μόνῳ ἀγαθῷ, ἡ παναγίῳ, ἡ ζωοποιῷ Πνεύματι προσπίπτω ἐγὼ ὁ πάσης τιμωρίας ἔνοχος, ἡ πάσης κολάσεως ὑπεύθυνος· Σὲ τὴν ἀΐδιον, ἡ ὄντως ζωὴν· τὸ ἀληθινὸν, ἡ ἀνέσπερον Φῶς· τὸν Κύριόν μου ἡ Θεὸν ἱκετεύω, μὴ εἰς τέλος καταβάλῃ με ὁ ἐξ ἐναντίας. ἀλλὰ σὺ βασίλευσον ἐν ἐμοὶ, ἡ παντοδύναμος, ἡ ἀνεκφώνητος δύναμις. (Τὸ ὑπερπλῆρες, ἡ ἀπερίληπτον, ἡ ἀνέκβατον κράτος. ἡ πᾶσα ἀγαθότης, ἡ παντὸς ἀγαθοῦ, ἡ καλῆ αἰτία. Τὸ ἀνακαινίζον πᾶσαν Φύσιν τῆς κτίσεως· ἐξ οὗ οἱ ἀσθενεῖς, ἰσχυροὶ· παρ' οὗ ἡ ἀναγέννησις ἡμῶν ἡ ἀνάπλασις, ἡ πᾶσα ἐπίγνωσις. Παρ' οὗ τὸν λυτρωτὴν ἡμῶν ἡ Σωτῆρα Κύριον, ὁρᾷν Φωτιζόμεθα, δι' οὗ τὰ πάντα ζῶσι, ἡ διαμένουσιν. ἡ ἄῤῥητος Σοφία. ἡ ὑπὲρ αἴσθησιν γνῶσις· ἡ ἀπερινόητος ἔλλαμψις. ἡ πᾶσα ζωή. ἡ πᾶσα δύναμις. ἡ πᾶσα δόξα. ὁ πάντων Προνοητὴς, ἡ ἐλεήμων Θεὸς) Καὶ ὅλον σὸν γενέσθαι, ἡ ζῆν με τῷ λοιπῷ, κατὰ τὸ σὸν εὐδόκησον θέλημα. ἀνέγειρόν μου τὰ μέλη, ἃ κατέῤῥαξεν ἡ ἁμαρτία, Φώτισόν μου τὴν καρδίαν, ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία· ἡ τὴν νεκρωθεῖσαν

ψυχήν

ψυχήν μου ταῖς ἁμαρτίαις, ἀνάπαυσον. Παῦσόν μου τῶν παθῶν τὰς τρυχιμίας. ἐλέησόν μου τὴν πενίαν, καὶ συνέτισόν μου τὴν ἀναισθησίαν. ῥῦσαί με ἀπὸ παντὸς πολέμου, ἔνδοθεν, ἢ ἔξωθεν, ἐπισυνεχῶτός μοι. ῥῦσαί με ἀπὸ παντὸς ἔργου πονηροῦ. καὶ συγχώρησον πᾶντα τὰ τῆς ἐμῆς παρανομίας πλημμελήματα. καὶ ἔνθου ἐν ἐμοὶ τὴν σὴν τελείαν ἀγάπην.

Ἔγγραψον τὸ ὄνομα τοῦ δούλου σου ἐν βίβλῳ ζωῆς. καὶ χάρισαί μοι τέλος ἀγαθόν· ὅπως ἀράμενος νῖκος κατὰ τοῦ Διαβόλου, προσκυνήσω ἀνεπαισχύντως ἐνώπιον τοῦ θρόνου τῆς βασιλείας σου. Γενέσθω σοι ἡ καρδία μου, Δέσποτα, γῆ ἀγαθή, δεχομένη σπόρον καλόν. καὶ δροσίσαι ἡ χάρις σου εἰς αὐτὴν, δρόσον ζωῆς αἰωνίου. θερίσαι δὲ ἡ χάρις σου ἐξ αὐτῆς δράγμα καλόν· προσκύνησιν μετὰ κατανύξεως, ἐγκράτειαν, ἀγρυπνίαν, δάκρυα. Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου τὴν νησείαν. ἐπίστρεψον ψυχή μου εἰς τὴν μάνδραν τοῦ Παραδείσου τῇ καλοπαθείᾳ. καὶ θλίψει. εὑρεθείη ἡ ψυχή μου, Κύριε, ἐν τῷ φωτί σου ἐκείνῳ τῷ ἀνεκλαλήτῳ, μετὰ τοῦ χοροῦ τῶν ἁγίων σου. Ναὶ, Δέσποτα τῶν ἁπάντων ἀκατάληπτε, καὶ ἀκατανόητε· ἐπάκουσόν μου τοῦ ἀχρείου, καὶ ἀναξίου δούλου σου. εὐόδωσόν με διελθεῖν, καὶ διανῦσαι τὴν ξενὴν, καὶ τεθλιμμένην ὁδόν· ἵνα ἀξιωθῶ τυχεῖν τῶν ἐπαγγελιῶν σου, καὶ κράζω ἐν τρυφῇ Παραδείσου. Δόξα Πατρὶ ἀθανάτῳ, καὶ Υἱῷ ἀθανάτῳ καὶ Πνεύματι ἁγίῳ ἀθανάτῳ, μεγαλοπρεπεία, προσκύνησις· εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Εὐχὴ ΙΑ'. εἰς τὴν ὑπεραγνον Θεοτόκον.

Η Μόνη χαρὰ τῶν θλιβομένων ὑπάρχουσα, καὶ τῶν ἀδικουμένων προσάτις, τῶν πονθούντων παράκλησις, καὶ τῶν ἀβοηθήτων βοήθεια, τῶν ἀσθενούντων ἐπίσκεψις, καὶ τῶν κατατρυχομένων σκέπη, καὶ ἀντίληψις τῶν χειμαζομένων λιμήν, καὶ τῶν τυφλῶν βακτηρία, τῶν πεπλανημένων ὁδηγὸς, καὶ τῶν ἐν ἀνάγκαις ἐπίκουρος ἀσφαλής, Θεογεννῆτορ Παναμωμε· πρόσχες τῇ οἰκτρᾷ καὶ εὐτελεῖ μου ταύτῃ δεήσει, ἣν προσφέρω σοι ἐν συνοχῇ καρδίας καὶ ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λευθέρωσόν με τῆς πονηρᾶς τῶν λογισμῶν καταιγίδος. λύτρωσαί με τῆ ἐξ ἀκηδίας προσγενομένη μοι βαρείᾳ ὕπνῳ. ἢ ἀπάλλαξον με τῆς δεινῆς ἐκθυμίας. ῥῦσαί με τῆς πικρᾶς τῶν Δαιμόνων τυραννίδος, ἢ ἐξάρπασόν με τῆς δεινῆς τῶν παθῶν συνηθείας. ἢ, ὡς οἶδας, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σε, τὸν ἐν σοὶ μετὰ Θεὸν τὰς τῆς ἐμῆς σωτηρίας ἐλπίδας προσαναθέμενον.

Δίδε μοι εὐπροθύμως, πανάχραντε, τὰ τῷ Υἱῷσε ἢ Θεῷ ἡμῶν πράττειν ἐντάλματα, ἢ τὰς σωτηρίας αὐτοῦ νομὰς φυλάττειν διαπαντός. Καὶ ἐνίσχυσόν με ἐγρηγορότι λογισμῷ, ἢ νηφούσῃ διανοίᾳ, πρὸς τὰς εὐπροσδέκτους αὐτῷ προφθάσαι δοξολογίας. Σοὶ γὰρ τῇ τῶν καλῶν προξένῳ, ἢ συνεργῷ πεποιθὼς, τὴν παροῦσαν προσάγω αἴτησιν. Μὴ ἐνεκπέσω τῆς εἰς σὲ προσδοκίας, Παναγνε. μηδὲ ἀποσραφείην τεταπεινωμένος, ἢ κατῃσχυμμένος· ἀλλ' εὑροιμι διὰ σοῦ. Θεοχαρίτωτε Δέσποινα, τῶν ἐμῶν αἰτήσεων ἐν τάχει τὸ πέρας. Ὅπως ὡς προσάτιν βεβαίαν ἡμῶν τῶν ἁμαρτωλῶν, ἢ τῶν ἐμῶν αἰτήσεων ἐκπλήρωσιν, διαπαντὸς γεραίρω, ἢ μεγαλύνωσε· νῦν, ἢ ἀεί, ἢ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Γ'. ἱκετήριος εἰς τὴν ἁγίαν Τριάδα.

Η Πανσθενὴς, ἢ ζωοποιὸς ἁγία Τριὰς ἢ ἀρχίφωτος. ἡ τὴν ἐγκόσμιον ἅπασαν, ἢ ὑπερκόσμιον κτίσιν. διὰ μόνην ἀγαθότητα ἐξ ἐκ ὄντων παραναγοῦσα, ἢ προμηθουμένη ἢ συνέχουσα. ἡ μετὰ τῶν λοιπῶν σε ἀνεκφράσεων περὶ τὸ βρότειον γένος εὐεργεσιῶν, ἢ τὴν μετάνοιαν διὰ τὸ τῆς σαρκὸς ἀσθενὲς ἕως θανάτου χαρισαμένη· μὴ ἐάσῃς με τὸν δείλαιον ταῖς πονηραῖς πράξεσί μου συναποθανεῖν· μηδὲ τῷ ἀρχεκάκῳ ἢ φθονερῷ λυμεῶνι ἐπίχαρμα χρηματίσαι. Ὁρᾷς γὰρ, εὔσπλαγχνε, ὅση μὲν ἡ ἐκείνου καθ' ἡμῶν ἐπιβουλὴ, ἢ δυσμένεια· ὅση δὲ ἡ ἐμὴ ταλαιπωρία, ἢ χαύνωσις ἢ ἀμέλεια. ἀλλὰ τῇ ἀσυγκρίτῳ χρηστότητί σου χρῆσαί δεόμαι, ἐπ' ἐμὲ τὸν καθ' ἑκάστην ἡμέραν, ἢ ὥραν σε παροργίζοντα, τῇ τῶν σεπτῶν σου, ἢ ζωηρῶν ἐντολῶν παραβάσει.

Καὶ

Καὶ πάντα μὲν τὰ διὰ πάσης μου τῆς ζωῆς, ἢ μέχρι τῆς παρούσης ὥρας πλημμεληθέντα μοι, ἐν πράξεσιν, ἢ ῥήμασιν, ἢ διανοήμασιν. ἄφες, καὶ συγχώρησον. ἀξίωσον δὲ τὸ ἑξῆς με διανῦσαι τῷ βίῳ ἐν μετανοίᾳ, καὶ κατανύξει, καὶ τηρήσει τῶν ἁγίων σου προσταγμάτων. Εἴτε ἐν ἡδονῇ δελεασθεὶς πολυτρόπως ἡμάρτηκα· εἴτε κοσμικαῖς ἐπιθυμίαις, ἀνοήτοις, καὶ βλαβεραῖς ἐξαπατηθείς, ἐνδιέτριψα. εἴτε ὀργῇ, καὶ θυμῷ κινηθεὶς ἀλόγῳ, τινὰ τῶν ἀδελφῶν μου λελύπηκα· εἴτε ταῖς διὰ τῆς γλώττης ἀφύκτοις, καὶ ποικίλαις, καὶ ἰσχυραῖς παγίσιν ἐάλων· εἴτε διάτινος τῶν αἰσθήσεών μου, ἢ καὶ διὰ πασῶν· ἐκὼν, ἢ ἄκων· εἰδὼς, ἢ ἀγνοῶν· ἐκ συναρπαγῆς, ἢ καὶ μελέτης, ἀφρόνως ὠλίσθησα. Εἴτε δὲ πονηροῖς διαλογισμοῖς, καὶ ματαίοις τὸ συνειδὸς κατεμόλυνα· εἴτε τινὶ τρόπῳ ἑτέρῳ ἐξήμαρτον, ὑπὸ προλήψεως, καὶ συνηθείας τυραννούμενος φαύλης· σύγγνωθί μοι καὶ ἄφες ἅπαντα, Πανοικτίρμον, καὶ ὑπεράγαθε, καὶ χάρισαί μοι τελοιπὸν προθυμίαν, καὶ δύναμιν, εἰς τὸ ποιῆσαι τὸ θέλημά σου τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον. ἵνα τῆς νυκτερινῆς, καὶ ζοφερᾶς κακίας, διὰ φωτοειδοῦς μετανοίας ἀπαλλαγείς, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσας, κεκαθαρμένος ἐποφθῶ τῇ φιλανθρωπίᾳ σου ὁ ἀνάξιος, ἀνυμνῶν σε καὶ μεγαλύνων εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐχὴ ΙΒ'. εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα Θεοτόκε, ἡ μόνη καθαρωτάτη ψυχῇ τε καὶ σώματι, ἡ μόνη πάσης ἐπέκεινα καθαρότητος, καὶ σωφροσύνης, καὶ παρθενίας, ἡ μόνη κατοικητήριον ὅλη γενομένη τῆς ὅλης χάριτος τοῦ Παναγίου Πνεύματος· χάντεῦθεν καὶ αὐτὰς τὰς αὐλὰς, καὶ ἀγγελικὰς δυνάμεις, ἀσυγχρίτως ὑπερβᾶσα τῇ καθαρότητι, καὶ τῷ ἁγιασμῷ τῆς ψυχῆς καὶ τοῦ σώματος. Ἔπιδε ἐπ' ἐμὲ τὸν ἀναξιον καὶ ἀκάθαρτον, καὶ ῥερυπωμένον τὴν ψυχὴν, καὶ σῶμα, τῷ μολυσμῷ τῆς ἐμπαθοῦς, καὶ ἐνδόνου ζωῆς μου. Κάθαρόν μου τὴν ἐμπαθῆ διάνοιαν, καὶ ἁγνισον. διόρθωσόν μου τὰς πεπλανημένας, καὶ τετυφλωμένας λογισμούς. ῥύθμισον καὶ παιδαγώγησόν μου τὰς αἰσθήσεις,

ἐλευ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλευθέρωσόν με τῆς τυραννέσης κακίας, καὶ αἰσχρᾶς συνηθείας τῶν ἀκαθάρτων προλήψεων, καὶ παθῶν. σῆσόν με πᾶσαν τὴν κατ' ἐνέργειαν ἁμαρτίαν καὶ δώρησαί με νῆψιν, καὶ διάκρισιν τῷ ἐσκοτισμένῳ, καὶ ταλαιπώρῳ νοΐ· πρὸς διόρθωσιν τῶν οἰκείων σφαλμάτων τε καὶ πτωμάτων· ἵνα τῶ σκότες τῆς ἁμαρτίας ἀπαλλαγεὶς καταξιωθῶ δοξάζειν, καὶ ἀνυμνεῖν ἐν παῤῥησίᾳ. Σὲ τὴν μόνην ἀληθινὴν Μητέρα τοῦ ἀληθινοῦ Φωτὸς, Χριστὸν τὸν Θεὸν ἡμῶν. Ὅτι μόνη σὺν αὐτῷ, καὶ δι' αὐτοῦ εὐλογημένη, καὶ δεδοξασμένη ὑπάρχεις ὑπὸ πάσης τῆς ὁρατοῦ, καὶ ὁρατῆς κτίσεως, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙΟΔΟΣ Δ'.

Εὐχὴ Δ'. Εἰς τὸν Φιλάνθρωπον Θεὸν καὶ Πατέρα Ποίημα τοῦ προῤῥηθέντος ΝομοΦύλακος Ἰωάννου. Διακόνου τοῦ Εὐγενικοῦ.

Ὁ Θεὸς ὁ μέγας, καὶ Φοβερὸς, καὶ ὕψιστος ὁ θαυμαστὸς, καὶ ὑπερύσιος, καὶ ὑπέρσοΦος. Ὁ ὢν, καὶ ἀγαθὸς, καὶ Παντοδύναμος. ὁ ἀνενδεὴς, καὶ παντέλειος. ὁ προαιώνιος καὶ ἀκατάληπτος. ὁ ὑπὲρ πᾶν πρᾶγμα καὶ ὄνομα. οὗ ἡ σοΦία, καὶ ἡ γνῶσις ἀμέτρητος, καὶ ἀπερινόητος καὶ τὰ κρίματα ἀνεξερεύνητα, καὶ αἱ ὁδοὶ ἀνεξιχνίαστοι. ὁ μόνῃ χρηστότητι καὶ εὐσπλαγχνίᾳ, καὶ ἀγαθότητος ὑπερβολῇ, ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι, τὴν ὁρατὴν, καὶ ἀόρατον κτίσιν ὑποστήσας. Καὶ πρότερον μὲν τὰς Ἀγγελικὰς, καὶ ἀΰλους οὐσιώσας Δυναμεις, προσκυνητὰς καὶ ὑμνητὰς ἀπαύστους τῆς ἀΦάτου σου μεγαλειότητος. Εἶτα τὸν ὕστερον Ἄγγελον τὸν μικρὸν κόσμον, τὸν ἄνθρωπον διαπλάσας κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν σοῦ τοῦ ἀοράτου Θεοῦ, καὶ τύπον τῆς σῆς σοΦίας, καὶ ἐπιστήμης, καὶ δυναμεως.

Ὃν καὶ τοῦ σοῦ θελήματος ἀποστατήσαντα, καὶ τῆς μακαρίας διαγωγῆς, καὶ θείας δόξης ἐκπεσόντα, τῇ ἐνσάρκῳ οἰκονομίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κλῖναι τοὺς οὐρανοὺς, καὶ καταβῆναι πρὸς τὴν ἡμῶν ταλαιπωρίαν εὐδοκήσαντος ἀνέπλασας, καὶ τεθέωκας, καὶ εἰς τὸ ἀρχαῖον ἀπεκατέστησας. Ὁ διὰ τῆς

τῆς ἐπιδημίας, ἢ τῆς χάριτος τὸ ἐκπορευομένω παρὰ σὸ τὸ Πατρὸς τῶν Φώτων, παναγίω, ἢ ἀγαθῷ, ἢ ζωοποιῷ σω Πνεύματος. ἀναγγείλας ἡμῖν πάντα, ἢ τὰ ἐλλείποντα ἀναπληρώσας. ἢ διὰ τῶν ἱερῶν Ἀποσόλων τὸ μυσήριον τῆς ἁγίας Τριαδος καθαρῶς ἡμῖν ὑποδείξας· ἵνα γινώσκομεν σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, ἢ ὃν ἀπέσειλας Ἰησῦν Χρισόν. Ὁ καταδεχόμενος Πατὴρ ἡμῶν ὀνομάζεσθαι, ἢ τὴν καθαρὰν ἀνθρωπίνην καρδίαν, θρόνον, ἢ ναὸν ἅγιον σεαυτῷ ποιεῖν ἢ καλεῖν· ἐρχόμενος ἐν ἑκάσῳ τῶν ἀξίων, σὺν τῷ μονογενεῖ σω Υἱῷ, ἢ τῷ παναγίῳ σω Πνεύματι, ἢ μονὴν παρ' αὐτῷ ποιῶν. Ὁ' καμὲ τὸν ἀνάξιον εἰς τοῦτο σχήματος, ἢ ἡλικίας εὐεργετήσας προελθεῖν. Θεέ μω, βασιλεῦ ἄορατε, ἢ πολλῶν ταλάντων με ὀφειλέτην καταξιώσαμενος,

Αὐτὸς, κραταιὲ, μεγαλοδύναμε Κύριε, ἐπάκυσόν μω τῆς εὐτελοῦς, ἢ ταπεινῆς εὐχαριςίας, ἢ δεήσεως, ἐξ ἀχρείω σόματος, ἢ γλώττης ἀναξίας, ἢ χειλέων ἀνάγνων προσφερομένης σοι. ἐπάκυσόν μω συμπαθῶς, μακρόθυμε, ἢ ἀνεξίκακε Δέσποτα Θεὲ, Πάτερ Παντοκράτορ προσκυνητὲ, ἐν τῇ παρούσῃ ὥρᾳ. Ὁ' ὑπὸ πάσης τῆς κτίσεως ἀσιγήτως ὑμνολογούμενος, ἢ δοξαζόμενος· ἐπίβλεψον εὐμενῶς εἰς τὴν ἐμὴν ταλαιπωρίαν, ἢ χαύνωσιν, ἢ ἀμέλειαν. ἢ τρέψον εἰς σπουδὴν τὴν ῥᾳθυμόν μω προαίρεσιν, ἢ τὴν φιλαμαρτήμονα γνώμην, εἰς ἐπιθυμίαν ἄπαυσον τοῦ καλοῦ, εἰς ἀρετῆς ἐργασίαν, εἰς ὄρεξιν τῆς σῆς βιασικῆς βασιλείας, ἢ βιασαῖς ἁρπαζομένης. ἢ εἰς ἔφεσιν τῶν οὐρανίων τερπνῶν.

Δίδαξόν με ἁγιωσύνην τελεῖν ἐν φόβῳ σω. λάμπρυνον ἐπ' ἐμοὶ ὁ νοητὸς ἥλιος τὸ φῶς τῆς ἀληθινῆς γνώσεως. εἰρήνευσον, ἢ πράϋνον τὴν καρδίαν μω ὁ εἰρηνοποιήσας τὰ πάντα, ἢ τοῖς οὐρανίοις ἑνώσας τὰ ἐπίγεια· διὰ τῆς ὑπερεχούσης πάντα νοῦν εἰρήνης τοῦ μονογενοῦς σω Υἱοῦ, τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χρισοῦ. χαρᾶς, ἢ εὐφροσύνης ἀληθινῆς με πλήρωσον ἡ ἀῤῥήτος χαρὰ τῶν Ἀγγέλων. κέντησόν με εἰς ἔρωτα τῆς σῆς ἀγάπης, τῶν ἐφετῶν τὸ ἀκρότατον. τῶν βιωτικῶν με θορύβων, ἢ πειρασμῶν, ἢ θλίψεων ἀνώτερον ἀπέργασαι, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν. Μὴ ἀπὸ σκότους εἰς σκότος, ἢ ἐξ ὕλους τῶν πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ὁ μέγας ἢ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε, καὶ φυλάττουσι τὰς ἐντολάς σου... Μνήσθητι τῶν οἰκτιρμῶν σου, καὶ τὰ ἐλέη σου ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἆρον Δέσποτα ἀγαθὲ, τὰς ἁμαρτίας μου, ὁ οἰκτίρμων καὶ μακρόθυμος. Ὅτι Σοὶ Κυρίῳ τῷ Θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἐμοὶ δὲ ἡ αἰσχύνη τῷ προσώπῳ, ὡς ἡμέρα αὕτη. ὅτι ἡμάρτηκα ἐναντίον σου Κύριε ἢ ἐκ εἰσήκουσα τῆς Φωνῆς σου τοῦ πορεύεσθαι ἐν τοῖς προστάγμασίσου, οἷς ἔδωκας κατὰ πρόσωπον ἡμῶν. ἀλλ' ἠθέτησά σε Κύριε ὁ Θεός μου ἢ ἐκολλήθη μοι πάντα τὰ μεγάλα κακά, ἀλλ' οὐδ' ὅτως ἐπέτρεψα φυλάξαι τὰ προστάγματά σου· ἀλλ' ἐχόμενος ἐκ τῆς πονηρᾶς μου συνηθείας ποιῶ τὰ πονηρὰ κατ' ὀφθαλμῶν σου, Κύριε, ὄντως δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν. οἶδα γὰρ ὅτι αἱ ἁμαρτίαι μου ἀντέστησάν μοι, ὅτι πολλαὶ αἱ ἀνομίαι μου σφόδρα ἐναντίον σου Κύριε· ἀλλ' ἡ ἐλεημοσύνη σου Κύριε, Φθασάτω με, ὅτι σὺ ἐν ἡμῖν Κύριε, ἢ τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται ἐφ' ἡμᾶς.

Κόπασον τὴν ὀργὴν τοῦ θυμοῦ σου, ἢ μὴ καταισχύνῃς με εἰς τέλος, μηδὲ μνησθῇς ἀνομιῶν μου ἀρχαίων, μηδὲ προσφάτων· μηδὲ ἀνάξιον κρίνῃς με τῶν σῶν οἰκτιρμῶν, ἥμαρτον ἱλάσθητι Κύριε. ἠνόμησα, συγχώρησον Δέσποτα, πρόσεχρεσα, διαλλάγηθι ἅγιε. Καὶ ἐπίφανον τὸ πρόσωπόν σου Κύριε, ἐπὶ τὸν ἐν ἐπαγωγῇ δεδουλωμένον σου, ἢ τὴν παρὰ σοῦ βοήθειαν ἐξαπόστειλον δυνατὲ, ἢ ἔξελε με ἐκ πάσης ταλαιπωρίας, ἢ πάσης παρανομίας· ἢ διάσχεδασον Δέσποτα πάντα κίνδυνον δι-

νον διὰ τὴν ὑπερπλαγχνίαν σε· ἡ μὴ εἰς τέλος παραδῷς εἰς ἀπώλειαν διὰ τὰς ἀνομίας μου· ἀλλὰ ταχὺ προκαταλαβέτωσάν με οἱ οἰκτιρμοί σε, Κύριε ὁ Θεός μου· ὅτι τὰ ἐλέη σε ἀπ' αἰῶνος ἐπὶ τὴν κτίσιν σε.

Γνῶθί μοι, Κύριε, πύργος ἰσχύος ἀπὸ προσώπου τῶν ἐχθρῶν μου· ἡ μὴ συγχωρήσῃς ἀπολέσθαι εἰς χεῖρας αὐτῶν ψυχὴν ἐξομολογουμένην σοι· ἀλλὰ κλῖνον, Κύριε τὸ οὖς σου· ἡ ἐπάκουσον· ἡ ἔπιδε ἐξ ὑψους ἁγίου σου ἐπὶ τὸν ἀφανισμὸν τῆς ψυχῆς μου. Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς τοῦ δούλου σου· ἡ τῆς δεήσεως μου ἐνώτισαι· ἡ ἐπίφανόν μοι τὸ πρόσωπόν σου· ἡ σωθήσομαι. Ὅτι ἐπὶ τῇ δικαιοσύνῃ μου θαρρῶν, προσφέρω σοι τὴν ἱκεσίαν ταύτην (ἀεὶ γὰρ παροξύνω σε) ἀλλ' ἐπὶ τοὺς οἰκτιρμούς σου Κύριε τοὺς πολλούς. Εἰσάκουσον Κύριε, πλάσθητι Δέσποτα. Πρόσχες· ἡ φεῖσαί μου ἅγιε· σκληροτράχηλος γάρ εἰμι. Εἰ ἀλλάξει αἰθίωψ τὸ δέρμα αὐτοῦ· κἀγὼ τὴν κακίστην μου προαίρεσιν. πάντα τὰ κακὰ ἦλθον ἐπ' ἐμέ· ἐγὼ δὲ οὐκ ἐπεστράφην τῷ μετανοῆσαι· ἀλλὰ ἡ προσέθηκα ἁμαρτίας ἐφ' ἁμαρτίαις μου. Σὺ Κύριε, Πατὴρ ἡμῶν· ἡμεῖς δὲ πηλός· ἔργα χειρῶν σου. Μὴ ὀργίζου ἡμῖν σφόδρα, μηδὲ μνησθῇς ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς. Μνήσθητί μου ὦ Δέσποτα, ἡ κατάπεμψόν μοι τοὺς οἰκτιρμούς σου. Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ ἡ προσκύνησις, τῷ Πατρὶ, ἡ τῷ Υἱῷ, ἡ τῷ ἁγίῳ Πνεύματι, νῦν, ἡ ἀεὶ, ἡ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙΟΔΟΣ Η'.

Εὐχὴ Η'. εἰς τὸν Φιλάνθρωπον Θεὸν ἡ Πατέρα.

Δέσποτα Κύριε Παντοκράτορ, ἡ Ποιητὰ τοῦ Παντός, ὁ τῶν οἰκτιρμῶν Πατὴρ, ἡ τοῦ ἐλεεῖν Θεός, ὁ ἐκ γῆς πλάσας τὸν ἄνθρωπον, ἡ ἀναδείξας αὐτὸν κατ' εἰκόνα σὴν ἡ ὁμοίωσιν· ἵνα ἡ δι' αὐτοῦ δοξάζηται τὸ μεγαλοπρεπὲς ὄνομά σου ἐπὶ τῆς γῆς, ἡ καταβραγέντα τοῦτον τῇ παραβάσει τῶν σῶν ἐντολῶν, πάλιν ἐπὶ τὸ κρεῖττον ἀνατλάσας, ἀνεβίβασας εἰς οὐρανούς. Εὐχαριστῶ σοι, ὅτι ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου, ἡ ὁ παρέδωκάς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

με τοῖς ἐχθροῖς μου εἰς τέλος κατασπάσας με. ὑδὲ εἴασάς με συναπολέσθαι ταῖς ἀνομίαις μου. Νῦν ἓν πολυέλεε, ἡ Φιλάγαθε Κύριε, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ. ἀλλὰ τὴν ἐπιστροφὴν ἀναμένων, ἡ προσδεχόμενος. ὁ τοὺς κατερραγμένους, ἡ τοὺς συντετριμμένους ἰώμενος· ἐπίστρεψον καὶ με πρὸς μετάνοιαν, ἡ κατερραγμένον, ἀνόρθωσον, ἡ συντετριμμένον, θεράπευσον. Μνήσθητι τῶν σῶν οἰκτιρμῶν, ἡ τῆς ἀπ' αἰῶνός σου ἀκαταλήπτου χρηστότητος· ἡ τῶν ἀμετρήτων ἐπιλάθου ἀνομιῶν, ὧν ἐν ἔργῳ, ἡ λόγῳ, ἡ διανοίᾳ ἐτέλεσα. λῦσον τὴν πώρωσιν τῆς καρδίας μου, ἡ δός μοι δάκρυα κατανύξεως, εἰς κάθαρσιν τοῦ ῥύπου τῆς διανοίας μου. Εἰσάκουσον Κύριε. πρόσχες Φιλάνθρωπε. Πλάσθητι εὐσπλαγχνε ἡ τῆς τυραννίδος τῶν ἐν ἐμοὶ βασιλευόντων παθῶν, τὴν ἀθλίαν μου ψυχὴν ἐλευθέρωσον. ἡ μηκέτι μου καταχρατείτω ἡ ἁμαρτία. μηδὲ καταδυναστευέτω με ὁ πολέμιος Δαίμων· μηδὲ πρὸς τὸ αὐτοῦ ὑπαγαγέτω με θέλημα· ἀλλὰ τῇ κραταιᾷ σου χειρὶ, τῆς αὐτοῦ δεσποτείας ἁρπάσας με, σὺ βασίλευσον ἐν ἐμοὶ ὁ ἀγαθὸς, ἡ Φιλάνθρωπος Κύριος. ἡ ὅλον σὸν γενέσθαι, ἡ ζῆν με τυλοιποῦ, κατὰ τὸ σὸν εὐδόκησον θέλημα.

Παράσχου μοι διὰ τῆς ἀφάτου σου χρηστότητος καρδίας κάθαρσιν, σώματος φυλακήν. εὐθύτητα πράξεων. φρονήματα ταπεινόν. εἰρήνην λογισμῶν. γαλήνην τῶν ψυχικῶν μου δυνάμεων. χαρὰν πνευματικήν. ἀγάπην ἀνόθευτον. μακροθυμίαν. χρηστότητα. ἐπιείκειαν. πίστιν ἀνυπόκριτον, ἡ τὴν περιεκτικωτάτην ἐγκράτειαν. ἡ πάντων με τῶν ἀγαθῶν καρπῶν πλήρωσον, τῇ δωρεᾷ τοῦ ἁγίου σου Πνεύματος. ἡ μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. μηδὲ ἀδιόρθωτον, ἡ ἀνετοίμον τὴν ψυχήν μου ἁρπάσῃς. ἀλλὰ τελείωσόν με τῇ σῇ τελειότητι, ἡ ἕτω με τοῦ παρόντος βίου ἐξάγαγε. ὡς ἂν ἀκωλύτως διαβᾶς τὰς ἀρχὰς, ἡ ἐξουσίας τοῦ σκότους διὰ τῆς σῆς χάριτος, κατοπτεύσω καγὼ τῆς ὑπεροσίτου σου δόξης τὸ κάλλος τὸ ἄῤῥητον, μετὰ πάντων τῶν ἁγίων σου. ἐν οἷς ἡγίασαι, ἡ δεδόξασαι, τὸ πάντιμον ἡ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς ἡ τοῦ Υἱοῦ, ἡ τοῦ ἁγίου Πνεύματος, νῦν, ἡ ἀεὶ, ἡ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ

Εὐχὴ Η' εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Γαναδίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Σχολαρίου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, Θεὲ ἀληθινὲ, βασιλεῦ ὑψιστε, ὑπεράγιε, ὑπεράγαθε, εὐσπλαγχνε. Λόγε ἀΐδιε τοῦ ἀνάρχου Θεοῦ καὶ Πατρὸς, δημιουργὲ πάσης τῆς κτίσεως, τῆς δὲ ἀνθρωπίνης, καὶ ἀναλλοιωτὲ δι' ἄκραν φιλανθρωπίαν· δι' ἣν ἡμῖν σαρκὸς καὶ αἵματος ἐκοινώνησας, καὶ τὴν ἀπορρητον ἐκείνην, καὶ ὑπερφυᾶ μετῆλθες οἰκονομίαν ἀχράντως. Εἰ τὰς ἁγίας, καὶ ὑπερουρανίους Δυνάμεις, οὐδέποτε ἔλαβεν, οὔτε λήψεται χόρος. ἀλλὰ ἀναπαύσως φωναῖς νοεραῖς ἀνυμνοῦσι τὸ μεγαλεῖον, καὶ τὴν λαμπρότητα τῆς Θεότητός σου· διὰ τί ἡμεῖς οἱ ταπεινοὶ καὶ γήϊνοι, δῆλοί σοι, οἱ ὠνημένοι τῷ τιμίῳ σου αἵματι, κορεσθησόμεθα τοῦ ὑμνεῖν σε διανοίᾳ, καὶ στόματι; Καὶ εἰ ἡ φιλανθρωπία σου, καὶ ἡ χάρις σου ἀκορέστως ἐνεργεῖ ἐν ἡμῖν ἀπὸ πρωΐας ἕως ἑσπέρας, καὶ ἀπὸ ἑσπέρας ἕως ἑτέρας πρωΐας· διὰ τί ἡμεῖς οὐκ ἐν διασήμασιν ὡρισμένοις εὐχαριστήσομέν σοι τῷ εὐεργέτῃ ἡμῶν;

Ἀλλὰ σύγγνωθι ἡμῖν, Χριστὲ εὐδιάλλακτε, ὅτι ἡ ἀκολουθία τῆς προσκαίρου ταύτης ζωῆς, καὶ αἱ ἀνάγκαι τῆς Φύσεως, καὶ ἡ τάξις αὐτὴ, εἰς ἣν ἡμᾶς ταχθῆναι ἠθέλησας, μερίζουσι, καὶ οὐκ ἐῶσιν ἀναπολεῖν σε ἀδιαλείπτως κατὰ νοῦν, καὶ διὰ γλώττης ἀσιγήτως ὑμνεῖν. Διὰ τοῦτο, ὡς ἀπαρχήν τινα τῶν μεθ' ἡμέραν νοημάτων, καὶ ῥημάτων ἡμῶν, τὴν πρωϊνὴν, καὶ μεσημβρινὴν, καὶ ἑσπερινὴν προσάγομέν σοι λατρείαν. Προσκυνῶ Σὲ τοίνυν τὸν ἐμὸν Δημιουργὸν, καὶ Πατέρα, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ ζωοποιῷ σου Πνεύματι, κλίνω γόνυ καρδίας καὶ σώματος μετὰ φρίκης καὶ τρόμου, Σοὶ τῷ παντοδυνάμῳ, καὶ Φοβερῷ, καὶ ὑπεραγάθῳ Δεσποτῶν μου. Εὐχαριστῶ ὑπὲρ πάντων, ὧν ἐποίησας καὶ ποιεῖς εἰς ἐμὲ, τῇ χειρί σου με ἔπλασας, τῷ ἐμφυσήματί σου ἐζώωσας, τῇ προνοίᾳ σου ἐξέθρεψας, τῇ χάριτί σου τὴν ἀληθῆ πίστιν ἐγνώρισας, τοῖς μυστηρίοις τῆς ἱερᾶς σου Ἐκκλησίας ἐπαδανώγησας, ἐκόσμησάς με καὶ τοῖς προσκαίροις τούτοις ἀγαθοῖς τῆς ἀνθρωπίνης εὐημερίας, κινδύνων ἀπήλλαξας, νόσων ἐξήγειρας, πρὸς τὸ συμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ συμφέρον ἀοράτως ὠδήγησας. κυβερνᾷς. καὶ περιθάλπεις ὡς νοσσίον σε. καὶ ὡς πρόνημα τῆς ἀγάπης σε.

Ἀλλὰ τί καὶ τολμῶ διηγεῖσθαι τὰς εὐεργεσίας σε; πέλαγός εἰσιν ἀνεξάντλητον. βυθὸς ἀκαταλήπτος. ὕψος ἀόρατον. ἐ φθάνω εὐχαριστῆσαι διὰ τὰ προγεγονημένα. καταλαμβάνει με ὁρμαθὸς εὐεργεσιῶν καινοτέρων. ὥστε καὶ αὐτὸ τὸ δύνασθαι με εὐχαριστεῖν πνεῦμά ἐστιν ἀγαθὸν δῶρον ἐστίν. ὦ τῆς ἐμῆς ταπεινότητος! ὦ τῆς σῆς ἀγαθότητος. ὅτι. ὃ μόνον ἔχω ἀντὶ πάντων προσφέρειν σοι. εὐχαριστίαν. ἢ ὕμνον. ἢ τοῦτο σόν ἐστι δῶρον. ὦ τῆς ὑπερβαλλούσης ἀγάπης σε ὅτι παντά μοι ἐξέχεας τὸν πλοῦτον τῶν ἀγαθῶν σε. μίαν οἶδα γνησίαν εὐχαριστίαν. τὴν ἐκπλήρωσιν τῶν θελημάτων σε. ἀλλ' ἐὰν μὲν ἡ τὸ πνεῦμα πρόθυμον. ἡ δὲ σὰρξ ἀσθενής. σὺ τοῦτο Κύριε εἶπας. ἡ δὲ προθυμία πάλιν τοῦ πνεύματος. ἐκ τῶν προσκαίρων σβεννύται λογισμῶν. Ἀλλὰ σὺ Κύριε δυνατὸς εἶ μόνος. καὶ τὴν προαίρεσιν ἀνάψαι. καὶ τὴν σάρκα ἐνδυναμῶσαι. ὅτως εὐχαριστήσω γνησίως. ἐὰν συναφθῇ μοι ἡ βούλησίς σου τῷ θελήματί σε. ἢ ἐὰν ὅλη μου ἡ καρδία προσκολληθῇ τῇ ἀγάπῃ σε. Ναὶ ὅτως ἀξίωσον με Χριστὲ βασιλεῦ υἱὲ τῆς ἀγάπης τοῦ Θεοῦ. καὶ Θεὲ ὑπεράγαθε.

Ἀλλὰ τί λαλήσω πρὸς σὲ ὑπὲρ τῆς σήμερον; τί δὲ ὑπὲρ τῆς αὔριον; τί ἀγαθὸν βουλήσομαι ἐμαυτῷ. ὅπερ ὁ σὺ βούλει καὶ πρὸ ἐμοῦ; ἢ τίς οἶδε τὸ ἐμὸν ἀγαθόν. εἰ μὴ σύ. ὃς καὶ μόνος αὐτὸ ποιεῖν δύνασαι; ἢ σιωπῶντός τοίνυν ἐμοῦ τὸ ἐμὸν ἀγαθόν. Εἰ δὲ ἡ παρακλήσεως χρεία πρὸς τὴν σὴν ἀγαθότητα. πρεσβεύει ὑπὲρ ἐμοῦ τὸ μυστήριον τῆς οἰκονομίας σου. ἢ ὁ δεξάμενός σε προσηλωθέντα σαυρῷ. καὶ ἡ ὑπερφυῶς ὑπουργήσασα τῷ μυστηρίῳ παναγία. ἢ ὑπεράμωμος Μήτηρ σου. ἢ οἱ τῆς ἐρανίου διδασκαλίας. ἢ πολιτείας σου ζήλωταί γνήσιοι γεγονότες μέχρι θανάτου. Τούτων τοίνυν πρεσβευόντων ὑπὲρ ἐμοῦ. ἀνοίξεις ἢ σήμερον συνήθως τὴν χεῖρά σου ἢ ἐμπλήσεις με εὐδοκίας. ἢ ἀντιλήψεταί μου ἡ δεξιά σου. Εἰ δὲ ἐμποδίζοι τι πάθος ἢ τῆς φιλανθρωπίας σου τὰ ἁμαρτήματά μου· ἀλλὰ ἀπάλειψον αὐτὰ, πάρες· σύγγνωθι. πεμφθήτωσαν εἰς λήθης βυθόν. ἔργον ἀδιάλειπτόν σοι. Χριστὲ βασιλεῦ ἡ ἄφεσις τῶν πλημμελημάτων. ὅτι ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διάνοια ἡμῶν τῶν ἀνθρώπων. ὀξύτερον φωτὸς ἐσι διατρέχουσα. καὶ ὁ λόγος ἀλισθηρός. καὶ τὰ ἔργα ὑλώδη. καὶ τῆς σκοτεινῆς ταύτης παχύτητος. Καὶ διὰ τοῦτο ἀναχήσεται ἐνώπιόν σε πᾶσα σάρξ. Σὺ δὲ μόνος Κύριε, καθαρὸς, καὶ ἀναμάρτητος ὢν, καὶ μόνος ἀφιέναι τὰς ἁμαρτίας ἡμῶν δύνασαι. Φύλαξον Ἰησοῦ μου γλυκύτατε τὴν ζωὴν ἐπιμήκισον εὐτυχῶς καὶ ἀδιαλείπτως, τῶν εὐσεβῶν χριστιανῶν, δῆλων δὲ τῆς σῆς ἀγαθότητος γνησίων. Καὶ μετὰ τὴν παροῦσαν ζωὴν, ἣν ἂν ὁρίσῃς μέτροις, καὶ ὅροις, οἷς οἶδας αὐτὸς, εἰς τὴν ἀΐδιον ἐκείνην εἰσαγαγε ζωήν τε, καὶ βασιλείαν. χειραγωγημένους, οὐχ ὑπὸ τῆς ἡμῶν ἀξίας, ἀλλ' ὑπὸ τῆς σῆς ἀγαθότητος. Ναὶ Κύριε, βασιλεῦ ἀνεξίκακε. Ὅτι σοὶ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, καὶ τῷ ἀνάρχῳ σου Πατρὶ μεθ' ὃ ἐν τῇ ἑνότητι τοῦ ἁγίου Πνεύματος. ζῆς τε, καὶ βασιλεύεις. εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Η'. εἰς τὴν ἁγίαν Τριάδα τῷ λογοθέτῃ κυρίῳ Συμεὼν τῷ Μεταφραστῇ διὰ στίχων Ἰαμβικῶν.

Ἱκετήριος. καὶ κατανυκτική.

Ὦ Πάτερ Υἱὲ Πνεῦμα Τριὰς ἁγία. Ἀγαθὸν ἀκένωτον, εἰς πάντας ῥέον; Καλλος πολυέραστον ἐκ ἔχον κόρον. Σῶσον, κατοικτείρησον, πλάσθητί μοι. Ἥμαρτον ἠνόμησα, καὶ κατεφθάρην. Ἥμαρτον ἠθέτησα καὶ κατεκρίθην. Ἥμαρτον ἠδίκησα, καὶ παρετράπην. Ἥμαρτον ἠσέβησα, καὶ παρεσφάλην. Βρέφος σκοτεινόμορφον ἡμαυρόμενον. Καὶ μειράκιον αἰσχύνης πεπλησμένον. Καὶ παιδίον βέβηλον ἠχρειωμένον. Νεανίας, βδέλυγμα κατειργασμένον. Ἀνὴρ σχολιὸς, καὶ κατειρύπωμένος. Ἀνὴρ φυγὸς καὶ κατηχρεωμένος. Ἀνὴρ βέβηλος καὶ κατεσπιλωμένος. Μισαπόκλιος, σαπρία, μιαρία. Ἐκ σπαργάνων γὰρ, Πνεύματος θείαν χάριν. Βάπτισμα θεῖον ἀφθόνως παρωσάμην. Κατειρύπωθην τῆς ἁμαρτίας ῥύπῳ. Κατεζοφώθην τῆς ἀσωτίας ζόφῳ. Ἀπὸ βρέφους ἔδραμον εἰς βδελυγμίας. Γήρως ἕως ἔτραξα τὰς ἀσωτίας. Πάν ἀγαθὸν δώρημα παρεβλεψάμην. Πᾶν ἀσεβὲς βδέλυγμα διεπραξάμην. Ἐβορβορώθην κακίας τῷ βορβόρῳ. Ἀπεξερήθην ἀρετῶν ψυ-

τῶν ψυχοτρόφων. Ἐξωσρακίσθην ἐνθέων χαρισμάτων. Ἀπεξενώθην ἀγαθῶν αἰωνίων. Στολὴν ἀφῆκα τὴν πανολβιωτάτην, Ἄνωθεν ὑφανθεῖσαν, ἡγιασμένην. Οὐκ ἠθέλησα τὸν βίον τῶν παρθένων. Οὐκ ἠγάπησα τὸν τρόπον τῶν σωφρόνων. Στολὴν μέλαιναν τῶν παθῶν ἐκτησάμην. Ἔνδυμα σαπρὸν λεπρὸν ἡμαυρωμένον. Χιτῶνα σαρκὸς παμπαν ἐσπιλωμένον. Καὶ σάκκον αἰσχρὸν, διπλοΐδα σαπρίας. Χιτῶνα διερρηξα τῆς ἀφθαρσίας. Μετημφιάσθην ἔργα τῆς ἀτιμίας. Ὀφθαλμὸν ἀγνότατον ἐβδελυξάμην. Ὀφθαλμὸν ἀκόλαστον ὠχετωσάμην. Αἰσχρῶν ἐπαφῶν πράξεων ἀκρασίας. Κατερρυπώθην παντὶ κοιρῷ, ᾗ τότῳ. Φόβον σὸν ἐξώρισα, ῥυπτικὴν χάριν. Πόθον δριμὺν ἔσχηκα τῆς ἁμαρτίας. Λύχνος ὢν, ἐτρύφησα ταῖς μιαρίαις. Ὁλοτρόπως ἤνυσα τὰς αἰσχρεργίας. Ὁλοσχερῶς ἔπραξα τὰς βδελυγμίας. Γήρως ἕως, ἔσχηκα τὰς ἀσωτίας. Ἀθανασίας δόξης ἠμφιεσμένος, Νεκρώσεως ἔνδυμα νῦν περιφέρω. Εὐωδίαν ἅπασαν εἰσδεδεγμένος, Δυσωδίαν ἅπασαν ἀνεξερνισάμην. Εἰς ἀρανὲς ἤμαρτον, εἰς τὸν αἰθέρα. Εἰς τὴν θάλασσαν, εἰς ἅπασαν τὴν κτίσιν. Ἐνωπιὸν σῶν ὀμμάτων ἁμαρτάνω. Καὶ ἐκ εἰμὶ ἄξιος τῶ ἄνω βλέψαι. Ἀπεξερήθην τῆς πατρικῆς ἐσίας. Ἄσωτον υἱὸν αἰσχρὸν ἐβδελυγμένον. Παρ' ἀξίαν δέξαι με, ᾗ σύγγνωθί μοι. Νῦν νυκτὶ τῶ βίῳ γὰρ εἰς πάθων σκότος, Ψυχοφθόρως πέπτωκα ταρτάρου χάος. Αἴγλη μετανοίας νῦν καταύγασόν με. Ἃ δὲ λύπωσαι ᾗ σκότος ἐξωτέρω. Λησαῖς ἀνημέροις με συμπεπτωκότα. Καὶ τραυμάτων γέμοντα, ᾗ δυσωδίας. Ὄμβροις μετανοίας με τῆς γλυκυτάτης. Παθῶν ψυχικῶν σῶσον ἐκ τῶν τραυμάτων. Ἐμαυτὸν ἐξώρισα πρὸς βδελυγμίας. Ἐμαυτὸν ἐξώθησα πρὸς μιαρίας. Εὐωδίας ἔμπλησον ἀγαθωτάτης. Ἐμαυτὸν ἐξέρησα τῆς θείας σκέπης. Ἐμαυτὸν ἐξέδυσα Πνεύματος χάριν. Εἶπον φυλάξαι τὰς λόγους τῶ Κυρίῳ. Εἶπον βαδίσαι πρὸς τρίβους σωτηρίας. Καὶ μᾶλλον ἐξώρμησα πρὸς μιαρίας. Καὶ μᾶλλον ἐξέκλινα πρὸς κακουργίας. Εἶπον Φόβον σὸν προσλαβεῖν ψυχοτρόφον. Καὶ συσκληνῆναι συσολῇ σωτηρίῳ. Καὶ μᾶλλον ἐξώρισα παντοῖον Φόβον.

Καὶ μᾶλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ μᾶλλον ἠγάπησα τὰς αἰσχρουργίας. Ὦ πῶς βλεπόντων Ἀγγέλων ὑπεσχόμην. Πάθη νεκρῶσαι, ἡ γυμνῶσαι σαρκίον. Ψυχὴν καθάραι, ἡ λογισμὸν λεπτῦναι. Ζωὴν ἐλέσθαι ἡ καθηγιασμένην. Εἶπον διῶξαι πᾶσαν ἀκαθαρσίαν, Εἶπον προκρῖναι πᾶσαν ἀγνοπραγίαν. Καὶ μᾶλλον εἰσήνεγκα τὴν πονηρίαν, Καὶ μᾶλλον ἐξήπλωσα τὰς φονουργίας. Εἶπον διελθεῖν ἐσεπωμένην τρίβον, Τῆς σωφροσύνης ἱερᾶς ἡσυχίας. Καὶ μᾶλλον ἐξέδραμον εἰς ἀσωτίας. Καὶ μᾶλλον ἐξώκειλον πρὸς βδελυγμίας. Ὦ πῶς ἀπῆλθε Πνεύματος θεῖα χάρις. Ὦ πῶς ἀπῆλθον ἁγιασμὸς σαρκίου. Ὦ πῶς λεπρωθεὶς, ἀκάθαρτος τυγχάνω. Ὦ πῶς πρόθυρων ἱερῶν ἐξερρίφην. Φέρων, πελιδνὸς, ἡ τεταριχευμένος. Σχῆμα μοναχῶν θεῖον ὄντως. ἡ μέγα. Καὶ τὰς ἀσώτων ἐκτελῶν μιαρίας. Ἔχων Πολιὰν σωφροσύνην ἐκ ἔχω. Τὸ φῶς ἀπῆλθεν ὀμμάτων τῶ σαρκίου. Ἀχλὺς παρῆλθεν ὀμμάτων τῆς καρδίας. Χεῖρες συνετρίβησαν ἐμοὶ ἡ πόδες, Ἀλλ' ὐ συνετρίβησαν ἡ μιαρίαι. Ἀλλ' ἐκ ἐδιώχθησαν αἱ γλωσσαλγίαι. Ὦ πῶς ἐκ ἔλαβον σύνεσιν κἂν ἐν χρόνῳ. Πῶς ἐν πολιᾷ ἐκ ἔφυγον σαπρίαν. Ὦ πῶς ἐκ ἔδωκεν ἀπάθειαν ὁ χρόνος. Ὦ πῶς ἠθέλησα δαιμόνων ἀσωτίας. Ὦ πῶς ἠγάπησα τῶ Σατανᾶ τὰς τρόπους. Ἀλλ' ἀξίωσον, ὦ Τριὰς Παναγία. Φρίττειν ἀεί με τῆς γεέννης τὴν φλόγα. Καὶ τὴν θάλασσαν τῶ πυρὸς τῶ παμφάγου. Καὶ τὴν θάλασσαν τὴν ἀπηνθρακωμένην. Φρίττειν ἀεί με τῶ θανάτῳ τὴν κρίσιν. Πικρὰς λογισὰς καρδίας ἐνθυμίων. Πράξαις φερόντας εἰς μέσον, ἡ τὰς λόγους, Καὶ τὰς λογισμὰς τὰς κατηχρεωμένας. Ὡς δῆμοι μέλλουσιν αἱ πράξεις τότε. Κατηγορεῖν μὲ τῶ κατερρυπωμένῳ. Δειναὶ προσλήψεις τῶν κακῶν ἐργασίαι. Αἰσχροὶ λογισμοὶ Προσβολαὶ Φαντασίαι. Καταξίωσον, ὦ Τριὰς Παναγία. Μὴ κλήματίδας προσφέρειν τῇ καμίνῳ. Μὴ δαψίλειαν βρωμάτων τῷ θηρίῳ. Μὴ δυσκάθεκτον, ἡ βίαιον δεικνύειν. Μὴ τὴν παλαιὰν κακίαν προσαυξάνειν. Ποίει δ' ἐλαφρὸν πτωσμάτων τὸ φορτίον. Τὴν παγγέλασον ἐκτρέπεσθαι κακίαν. Τὴν παμμίσητον ἐκκλίνειν μοχθηρίαν. Τῷ νῷ καθυπόταξον ἐναγῆ πάθη. Τὰ δυσκάθεκτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χτα ἡ Φύσει συνημμένα. Ταυτοχρατεῖν ποίησον ἔνθεον λόγου, Τῷ σῷ σθένει σθένωσον ἀσθενὲς σθένος. Τῷ Φωτὶ σε Φώτιζε καρδίας σκότος. Τῷ σῷ καθαρμῷ καθάρισον τὰς Φρένας. Πληγῆς τε ῥῦσαι κακίας ψυχοΦθόρε. Ἄτρωτον ἐξάρπασον ἐκ τῶν δαιμόνων, Ἄσπιλον, ἀμώμητον ἐξ ἐναντίων, Ἐκ τῆς ἐπηρείας τε τῦ διαβόλε. Καὶ τῆς βιαίας, ἡ σΦοδρᾶς τυραννίδος, Νῦν μοι χάρισον Πνεύματος θείε χάριν, Ποιεῖν λόγες σὲς ἀνύειν τὲς σὲς νόμες. Τὸν σὸν Φοβεῖσθαι δρασικώτατον Φόβον. Ποιεῖν τὰ σοὶ πρέποντα, ἡ σώζοντά με. Ῥῦσαι μιασμῦ, ἡ ῥύπε τῦ σαρκίε. Τῆς σῆς καθαρότητος ἔμπλησον Φρένας. Ἀπρόσκοπτον τήρησον ὡς ἐν ἡμέρᾳ, Εὐσχημόνων τρέχειν με τὰς θείας τρίβες. Ἔργε λύτρωσαι καρπὸν ἐ κεκτημένε. Μόχθε κακίας μωρίας ἀγνωσίας, Ἔξωθεν εἰσρέοντος ἐκ τῶν δαιμόνων, Ἔσωθεν ἐκρεόντος ἐκ τῆς καρδίας. Καιρῷ θανάτε, κρίσεως ἐν ἡμέρᾳ, Φρικτῆς ἐκείνης ταῖς ἐμαῖς ἀσωτίαις. Συνειδότος μάσιγας ἠκανθωμένας, Πικρὰς ἐλέγχες, καὶ βέλη τὰ υρΦόρα, Φλέγοντα, πυρπολῦντα, ἡ τήκοντά με. Τίς ἰσχὺς ἐκτρέψει, τίς κατάσβέσει; Εἰς πῦρ με βάλλει κακίας ἐργασία. Ἀπεξένωσε γνώσεως ἐν τῇ κρίσει. Ἀκύσομαι γὰρ, ἐκ ἔγνων σε, σαπρία. Μακρὰν ἀγαθῶν, κακία πονηρία. Ψυχὴ μέλαινα, ἡ κατηχρειωμένη. Ἐγγὺς πάρεσιν ἡ τομὴ τῦ θανάτε. Ἤδη προσῆλθε τῆς τελευτῆς τὸ ξίΦος. Πύρινος ἀμίλητος Ἄγγελος βρέμων. Λογχιφορος κάτεισιν ἠγριωμένος. Κόπτων θερίζων καρδίας τὰς ἀκάρπες. Οἴμοι, προσῆλθεν, ὡς λέων τε, καὶ δράκων. Οἴμοι, πάρεσι, πῦρ πνέων τε, καὶ Φλέγων. Φρικτῇ μαχαίρᾳ, καὶ κατηνθρακωμένη. Φαίνει με τὸν δειλαιον ἠΦειδημένος. Φαίνει με τήκει, πυρπολεῖ, καταΦλέγει. Οὐδεὶς βοηθὸς τῷ κατοδύνῳ μένει. Οὐδεὶς συνεργεῖ τῷ κατεσπαραγμένῳ. Οὐδεὶς ἀκύει τὰς ἐμὰς θρηνωδίας. Οὐδεὶς βλέπει με τὲς πόνες τῆς καρδίας. Σὺ γὰρ παθῶσα μυσικὰς τιμωρίας. Μόνη γινώσκεις κρυΦίως ὦ καρδία. Ψυχὴ, δοκῶ βλέπειν σε πικρῷ θανάτῳ, Ἰλιγγιῶσαν, ὠχριῶσαν ἐν τρόμῳ, Φεύγεσαν ἡ Φέρεσαν Ἀγγέλε θεαν. ΚατηΦιῶσαν, δακρύ-

δακρύων πεπλησμένην. Τῷ θανάτῳ βλέπω σε πυρπολεμένην. Κάτω βλέπουσαν, ἢ τετραχηλισμένην. Στυγνὴν, λεπρῶσαν, ἢ κατιχρειωμένην. Γυμνὴν, ἐυπῶσαν, ἢ τετραυματισμένην. Ὦ πῶς ἀπέλθῃς σαρκὶ λελυμένη. Ὦ πῶς κρατηθῇς δαιμόνων τελωνίοις. Ὦ πῶς ἀνεχθῇς πρὸς βυθὸν τιμωρίας. Ὦ πῶς σεναζεις ἐν βάθει τῶ ταρτάρω. Πρὸ τῆ φανῆναι τὴν κρίσιν, κατεκρίθης. Πρὸ τῆς γεέννης, εἰς γέενναν ἐκτρέχεις. Πρὸ ταρτάρου δὲ, ταρτάρου βλέπεις χάος. Πρὸ τῆ σκότους, πέπτωκα εἰς δεινὸν σκότος. Ὦ πῶς ἀναξῇς εἰς πολύενον κρίσιν. Κατηφιῶσα, ἢ σκότους πεπλησμένη. Στερνοκροτοῦσα, ἢ κατεσπαραγμένη. Ὦ πῶς παραξῇς εἰς κρίσιν τῷ Κυρίῳ. Σὺν τῷ βεβήλῳ, ἢ μιαρῷ σαρκίῳ. Κλοιοῖς νοητοῖς ἀθλίως κρατουμένη. Σειραῖς ἀφύκτοις πταισμάτων πεδουμένη. Ὦ πῶς συνέλθῃς τοῖς κατακεκριμμένοις. Ὦ πῶς συναφθῇς δαιμόνων ὁμηγύρει. Ὦ πῶς ἀκούσεις ὑπάγειν εἰς τὸ σκότος. Εἰς ἅπαντας αἰῶνας ἐκπυρουμένη. Εἰ δὲ σεναζεις ἀρτίως, ἢ δακρύσῃς. Πρὸ τῆ φανῆναι τὸ ξίφος τῆ θανάτου. Ἴσως φανείται συμπαθὴς ὁ δεσπότης. Ἴσως συνάψει πᾶσι τοῖς σεσωσμένοις. Λοιπὸν, σεναζον, καρδία, πρὸ τῆ τέλους. Καθικετευσον ἐν φόβῳ τε, ἢ τρόμῳ. Ὦ Πάτερ, Υἱὲ, Πνεῦμα, Τριὰς ἁγία, Σῶσον παρ' ἀξίαν με, καὶ παρ' ἐλπίδα. Ὦ πῦρ καθαρτήριον ἁμαρτημάτων, Ψυχῆς καθαρτήριον ἁμπλακημάτων. Ψυχὴν ἐμὴν ἔκπλυνον ἐκ σπιλωμάτων. Ψυχὴν ἐμὴν κάθαρον ἐκ μολυσμάτων, Ψυχῆς ἐμῆς κράτησον ἐνθυμημάτων. Νοὸς ῥοπὴν ἴθυνον εἰς θρηνῳδίαν. Νοὸς δὲ βασίλευσον ἐννοημάτων. Θρηνεῖν τὰ πολλὰ τῶν ἐμῶν ἐγκλημάτων. Κλαίειν τὰ πολλὰ τῶν ἐμῶν ὀφλημάτων. Καὶ καρδίαν ἄγνισον ἐκ ἐυπασμάτων. Πικρῶς σεναζειν, δακρύειν ἀενάως. Ὦ κυρίων τὸ κῦρος, ὦ παντοκράτωρ, Παθῶν με δῦλον, αἰσχύνης πεπλησμένον, Ἐλευθέρωσον αἰσχύνης αἰωνίου. Καὶ τῆς γεέννης, ἢ σκότους ἐξωτέρου. Νοὸς κίνησιν φώτισον τῷ φωτί σου. Ψυχῆς λογισμὸς σῆσον ἡδραιωμένους. Πεφρικότας, τρέμοντας ὡς ὑπευθύνους. Κλαίοντας ὁμοίως ἐντας καταχρίτους. Ἁγνὰς προσευχὰς ἐκτελεῖν ἀϊδίους. Νοὸς κάθαρσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψυχικὴν ἀτυχίαν. Θελημάτων νέκρωσιν ἐσιγημένων. Καταφρό-
νησιν πραγμάτων ἀλλυομένων. Τὸ μέτριον φρόνημα, ἡ τὴν ἀγα-
πην. Τὸ χαρμόσυνον δάκρυον τῆς καρδίας. Καὶ τὰς σεναγμὰς
τῶ μύρω πεπληρωμένας. Καὶ τὰς ἀδυρμὰς τὰς καθηγιασμένας,
Τῆς ἐγκρατείας δυνάμει σελασφόρω. Δός μοι κρατῆσαι τῆς ἀναι-
δοῦς γαστέρος. Ἀστίας πτέρυξιν ἠνθρακωμένης. Νεῦρα ῥαιβεύσαν
τῶν λογισμῶν τὸ κράτος. Σὺ χαλίνωσον, σωφρόνησον γαστέρα.
Ἤ τις, κατεκράτησεν ἠφάνισέ με. Ἤ τις κατεζόφωσεν ἐρρύπω-
σε με. Ἤ τις κατεσκότισεν ἠχρείωσέ με. Αἰσχρὰς λογισμὰς
πυρπολεῖ νῦν εἰς τέλος. Οἴμοι κραταιῶς ὀλλύουσιν εἰς τέλος.
Ἤδη κατεκόντισαν εἰς ᾅδου ζόφον. Καὶ κατεταρτάρωσαν εἰς χάος
μέγα. Λύπη ματαία ἡ ζῆσις τῆς καρδίας. Ὀργὴ δρυμεία,
ἡ φθόνος ἡ μανία. Ἀκηδίας ζόφωσις, ἀργίας νέφος. Ἐξω-
σράκισαν τῶ Πνεύματος τὴν χάριν. Δόξα κενὴ βρότειος, ἡ φθαρτὸν
κλέος. Ἀτιμίαν ἄμετρον εἰσφέρουσί μοι. Ἡ δ' ὑπερφάνια λύσσα
δαιμόνων. Ἐμὲ συνῆψε ἡ παθῶν τῇ μανίᾳ. Πικρῶς σέναξον καρ-
δία τρισαθλία. Ὥρᾳ φρικώδει χρίσεως ἐν ἡμέρᾳ. Παρίστανται
μὲν τὰ Χερουβὶμ ἐν φόβῳ. Ἐξίστανται δὲ τὰ Σεραφὶμ ἐν τρόμῳ.
Ἐμῶν παθῶν ῥῦσαί με Τριὰς ἁγία. Ἐμὸν σκοτασμὸν φώτισον
τῷ φωτί σε. Καταξίωσον δακρύειν ἀεννάως. Θρηνεῖν σεναζειν
παντὶ καιρῷ ἡ τόπῳ. Ὥρᾳ καθ' ἣν πρόεισι κριτὴς εἰς κρίσιν.
Συσσείεται μὲν ὠρανὸς, γῆ δὲ τρέμει. Φρίσσει θάλασσα τήκεται
πᾶσα κτίσις. Ἐξαγριοῦται τοῖς παρανομήσασιν. Ἠχοῦσιν αἱ σάλ-
πιγγες εὐπονωτάτως. Ταξεις διατρέχουσι τῶν ἀσωμάτων. Ψυ-
χὰς κατατρύχουσιν ἠχρειωμένας, Ψυχὰς καταφλέγουσιν ἐσπιλω-
μένας. Ὅταν καθίσῃς εἰς ἐπήρμενον θρόνον, Ὅταν κρίνῃς με
τὸν κατακεκριμμένον, Μὴ τοῖς ἐρίφοις τοῖς κεκατηραμένοις
Ἐμὲ συνάψῃς τὸν κεκατηραμένον. Ἀλλὰ, προβάτοις τοῖς μεμα-
καρισμένοις. Σκηναῖς δικαίων ἐντρυφῶν τεταγμένοις. Ὦ φῶς
τριλαμπὲς ὦ Τριὰς παναγία, Τριὰς προσώποις ἡ μονὰς τῇ ὐσίᾳ.
Πίστει μόνῃ σῶσόν με ἡ παρ' ἐλπίδα. Παθῶν με δεῖξον εὐσθενῆ βα-
σιλέα. Ἐλευθέρωσον ἐκ πάσης ἁμαρτίας. Φαίδρυνον, ὡράϊσον
ἐζόφω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐζοφωμένον. Ἐν ὄμματι βλέψον με συμπαθεξάτῳ. Σύμοι βράβευσον Ἄγγελον σελασφόρον, Νοὸς συνεργὸν παιδαγωγὸν προσάτην. Ὁδηγὸν ἰθύνοντα πρὸς σωτηρίαν. Ψυχῆς ἐμῆς φύλακα, ἠδὲ τῆ σαρκίῳ. Σύμοι ξήρανον κακίας ἀναβλύσεις. Σύμοι πήγασον δακρύων ἐπομβρίας. Οὐ τοῖς ἀμώμοις, τοῖς κατηγλαϊσμένοις, Ἐξαγορίας ὥρισας σωτηρίαν. Ἀλλ' ἐβράβευσας τῆς μετανοίας τρόπους. Ἐμοὶ βεβήλῳ ἠδὲ κατηχρεωμένῳ. Οὐκ ἔστιν εἶδος κακίας πονηρίας, Ὃ μὴ πέπραχα παντὶ καιρῷ ἠδὲ τόπῳ. Καὶ νῦν κλίνω σοι καρδίας ἐμῆς γόνυ. Σῇ βασιλείᾳ τὸν τράχηλον προσκλίνω. Σῇ χρηστότητι τὴν δέησιν προσφέρω. Ἄνες τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων. Ἄνες τὰ δεινὰ τῶν ἐμῶν ὀφλημάτων. Μή με στερήσῃς ἀγαθῶν αἰωνίων. Μή με τραπέζης ἐκβαλῇς ἀθανάτου. Μή με ξενώσῃς τῆς χαρᾶς τῶν ἁγίων. Καταξίωσον ἱερᾶς κοινωνίας. Εἰς ἐξαλειψιν τῶν πολλῶν ἐγκλημάτων. Εἰς λύσιν εἰς καθαρσιν εἰς σωτηρίαν. Ὥρᾳ τελευταίᾳ δὲ πικρᾷ θανάτου Πραεῖς φαεινὸς πέμψον Ἀγγέλους τότε. Ἀποτρέποντας τὰ σίφη τῶν δαιμόνων. Ψυχὴν ἁφαρπάζοντας ἐκ τιμωρίας. Ἄνω φέροντας χωρὶς ἁμαρτημάτων. Πρὸς τὸν τρίφωτον ἠδὲ μόνον βασιλέα. Καταξιώντας τῆς χαρᾶς τῶν ἁγίων. Δέξαι μεσίτην τὴν ἀγαθότητά σου. Τὴν χρηστότητα τὴν ἀνεξικακίαν. Τὴν συμπάθειαν τὴν ἀκραν εὐσπλαγχνίαν. Δέξαι μεσίτην Μαρίαν ὑπερτάτην. Τὴν κοσμοτερπῆ μητροπάρθενον κόρην. Θείαν κλίμακα. ῥάβδον ἔμψυχον θρόνου. Δέξαι μεσίτην ταξιν ἀσπιλοβόλον. Ἐπουρανίων Ἀγγέλων ἀσωμάτων. Δέξαι μεσίτην ἀγλαὸν σελασφόρον. Τὸν Προδρομόν σου τὸν καθηγιασμένον. Πρὸ σπαργάνων κηρυκα ἠδὲ θεηγόρον. Πρὸ δεσποτου λαμψαντα τοῖς ἐν τῷ σκότει. Δέξαι μεσίτας τὰς χορὰς των ἁγίων. Χορὰς Προφητῶν, Πατριαρχῶν, Μαρτύρων. Πάντων ἁπασῶν ἁγίων σελασφόρων. Ὡς εὐλογῶ σε ἠδὲ ποθῷ μεγαλύνω. Ὡς εὐχαριστῶ ἠδὲ μελῳδῶ γνησίως. Ὃν εὐλογοῦσιν ἀρχαὶ αἱ δυνάμεις. Αἰωνας εἰς ἅπαντας ὁ μετρημένος. Ὅτι πρέπει σοι δοξα, τιμὴ, ἠδὲ κράτος. Αἰωνας εἰς ξύμπαντας ὁ λελυμένος.

Περί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΕΡΙΟΔΟΣ Θ'.

Εὐχὴ Θ'. εἰς τὸν πανοικτίρμονα Θεὸν καὶ Πατέρα, κατανυκτικὴ, ἐξομολογητική τε καὶ ἱκετήριος.

Ἴδε Κύριε, ὅτι εἰ καὶ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐστὶν ἄπειρον, καὶ ἡ δὲ δύναμαι τῇ σῇ προσβλέψαι χρηστότητι. ἀλλὰ τὸ σὸν ἔλεος ὑπεραπειρον καὶ ὡς πέλαγος ἔχεις μακροθυμίας, καὶ ἄβυσσον ἀγαθότητος. Καὶ εἰ παντας ἀνθρώπους τῇ πονηρίᾳ ἐνίκησα· ἀλλ' ἐχὶ καὶ τὰς σὰς οἰκτιρμὰς ὑπερέβαλον. ἡ δὲ τὰ σπλάγχνα τῆς σῆς ἀπεκλεισα συμπαθείας ἡ δὲ τὰς ἀσυνάφως ῥέοντας τῆς σῆς Φιλανθρωπίας ὀχετὰς ἀπεξήρανα. καὶ γὰρ αἱ ἀνομίαι ἡμῶν πληθυνθῶσιν ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ τὴν ψαμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· ὅμως παρὰ τοσοῦτον τῆς σῆς ἠττῶνται χρηστότητος, καὶ ἐπιεικείας· παρ' ὅσον καὶ τὰ κατορθωματα ἡμῶν ἀπολείπεται τῆς δικαιοσύνης σου. Διὰ τοῦτο θαῤῥῶν τῷ ἐλέησον προσέρχομαί σοι μετὰ Φόβου, καὶ τρόμου, δεόμενος ὡς ὁ ἄσωτος, εἴ τι σοι ἥμαρτον ἑκουσίως, καὶ ἀκουσίως· ἐν ἔργοις, καὶ λόγοις· ἐνθυμήμασι, καὶ διαλογισμοῖς. γνώσει τοῦ χειρονος, καὶ ἀγνοίᾳ. ὅσα ἐν νῷ, καὶ οσα ἐν διανοίᾳ. εἴ τι ἐν νυκτὶ, καὶ εἴ τι ἐν ἡμέρᾳ. ἐν πάσῃ ἡλικίᾳ καὶ ἐν ὁλῃ μου τῇ ζωῇ· πάντά μοι συγχωρῆσαι. πάντά μοι ἀπαλεῖψαι. καὶ χιτῶνά μοι ἐνθεῖναι ἀναμαρτησίας καὶ καθαρότητος.

Ἥμαρτον, ὁμολογῶ. ἐπλημμέλησα ἐκ ἀρνοῦμαι. τὰς σὰς ἠθέτησα ἐντολάς. τὰ σὰ κρίματα καὶ δικαιώματα ὑπερεῖδον. ἐξηκολούθησα τῷ πλάνῳ, καὶ ἀποσάτῃ ἐχθρῷ. ὑπετάγην τῇ σαρκὶ, καὶ τοῖς πάθεσιν. ἐδουλώθην ταῖς τοῦ βίου ἡδοναῖς. ἐργαστήριον ὑπῆρξα πασης ἀκαθαρσίας. σκεῦος ἐγενόμην πάσης ἀνομίας. ἐκ ἔχω τὸν χαρακτῆρα τῆς σῆς εἰκόνος καθαρὸν καὶ ἀπαραχάρακτον. ἐκ ἔχω τὴν σφραγῖδα ἀσάλευτον τοῦ θείου βαπτίσματος. δι' ὧν θείρα τὴν πρώτην πλάσιν καὶ τὴν δευτέραν. πάντα συνέχεα. πάντα ἐμόλυνα τοῖς καθ' ἡμέραν καὶ ὥραν παραπτώμασιν. ὁμολογῶ ἐμαυτὸν ὑπεύθυνον τῷ αἰωνίῳ πυρὶ, καὶ τῷ ἀκοιμήτῳ σκώληκι· ἀναχηρύττω ἐμαυτὸν ἔνοχον πασης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάσης Φρικτῆς τε, ἢ χαλεπῆς κολάσεως. ὁ περιμένω τὴν κατάγνωσιν τῆς κρίσεως τῶ μονογενῶς σε Υἱῶ, ἤ τις τὸς κατ' ἐμὲ ἁμαρτωλὸς εἰς γογγυσμὸν παραπέμψει. παρ' ἐμαυτῶ τὴν ψῆφον τῆς καταδίκης λαμβάνω. ἀπ' ἐμαυτῶ κατακρίνομαι. κάθηται ἡ μνήμη τῶν ἁμαρτημάτων. σφοδροὶ, ἢ ἀπαραλόγιστοι ἔλεγχοι, οἱ δεινοὶ κατήγοροι, προσκομίζουσι τὰ γράμματεῖα τῶν ἔργων μου. ἀπαιτῶσι τὰς δίκας. ἕλκουσιν ὡς ἀπὸ βήματος ἐπὶ τὰς βασάνους. ὁ βοηθῶν, ὐδείς· ὁ συνηγορῶν, ὐδαμῶ.

Τί ποιήσω λοιπὸν πρὸ τῆς ὥρας ἐκείνης καταδικαζόμενος, ἐπειδὰν κατὰ τὴν τῆς κρίσεως ἡμέραν ἐτάζωμαι; παρὰ τίνος δικαιωθήσομαι; εἰ παρ' ἐμαυτῶ ἐξεθενῶμαι τίς μοι συναντιλήψεται; τίς ἐπικαλύψει μοι τὰ ἀνακεκαλυμμένα; ἢ τὰ εἰς φῶς κείμενα; ἢ βλεπόμενα ὑπὸ μυριάδων Ἀγγέλων, ἢ ἀνθρώπων; ἅ περ ὢν σκότει διεπραξάμην ὁ ἄθλιος; ὐδέν ἐστι τὸ δικαιῶν με, εἰ μὴ τὸ σὸν ἔλεος, ἢ τὸ σὸν φιλάνθρωπον ἢ τὸ πρὸ τῆς κρίσεως ἐμαυτὸν κατακρίνειν, ἢ συλλιτεύειν τὰς ἐμὰς πράξεις, ἢ θριαμβεύειν τὰς ἐμὰς ἁμαρτίας. Σὺ γὰρ ὁ εἰπὼν διὰ τῶ Προφήτου· λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῆς· ἆρα ἢ ἐμοὶ, ἐξαγορεύοντι τὰς ἀνομίας μου σοὶ τῷ Κυρίῳ, ἀφήσεις τὴν ἀσέβειαν τῆς καρδίας, ἢ ἀθωώσεις με. ἔχω πρέσβιν ἀξιοχρεων εἰς δυσωπίαν, τὴν Παναγίαν, ἢ παναμώμητον, ἢ πανυπέραγνον Μητέρα τῶ μονογενῶς σε Υἱῶ τῶ ἀληθινῶ Θεῶ, ἢ Σωτῆρος τῆς ἡμετέρας Φύσεως· ἔχω συμπρεσβεύσας, τὰς ἁγίας, ἢ καθαρὰς, ἢ ἀΰλους Δυνάμεις, ἢ ἐξουσίας τὸς Θρόνους, τὰς Κυριότητας, τὰ πολυόμματα Χερουβὶμ, ἢ τὰ ἑξαπτέρυγα Σεραφὶμ, ἢ πᾶσαν λειτουργικὴν χορεῖαν, ῥητήν τε, ἢ ἄῤῥητον.

Προτείνω μεσίτας, ὁμῶ ἢ συλλήπτορας τῆς σωτηρίας μου, τὰ πλήθη τῶν θείων Πατέρων, ἢ προπατόρων, τῶν ἐκ τῶ παντὸς αἰῶνος τὰ ἀρεσά σοι πεποιηκότων. Προβάλλομαι εἰς Ἱκεσίαν τὸς μακαρίους, ἢ θεωρὸς τῶν σῶν μυστηρίων Προφήτας· ἢ πρὸς τούτοις, τὸ τῶν προφητῶν ἐπισφράγισμα, τὸν μέγαν τῆς ἀληθείας ἐπόπτην, ἢ κήρυκα, ἢ βαπτιστὴν Ἰωάννην. Προσάγω εἰς μεσιτείαν τὸς ἁγίους, ἢ ἱερὸς Ἀποστόλους, ὧν αἱ τῆς διδασκαλίας σάλπιγγες, εἰς τὴν τῆς Ἐκ-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς Ἐκκλησίας οἰκοδομὴν, τὴν οἰκεμένην ἀνέξησαν. Προσφέρω σοι ἡ τὰ τῶν Μαρτύρων αἵματα, ἡ τράπεζα ἃ περ τὸν ἀρνὸν ἡ τὴν γῆν ἐσάλευσαν· ἵνα τὴν ἐπὶ γῆς ἀνατείλασαν τῆς εὐσεβείας ἀλήθειαν βεβαιώσωσι, ἡ τὸ τῆς ἀσεβείας ἀπελάσωσι ψεῦδος. Προσκομίζω σοι ἡ τὴν σεβάσμιον, ἡ ἀκατάπληκτον κατὰ τῶν δυσσεβῶν ἔνστασιν, τῶν τῆς ὀρθοδοξίας, ἡ τῆς ὑγιοῦς πίστεως Ὁμολογητῶν. Προτίθημι ἡ τὰ διὰ βέλη σκάμματα, ἡ παλαίσματα τῶν ὡς Ἀγγέλων ἐπὶ γῆς πολιτευσαμένων ὁσίων ἀνδρῶν, τῶν ἡ πάθη σαρκὸς, ἡ ἡδονὰς κόσμου, ἡ μηχανὰς τοῦ κοσμοκράτορος, τῇ ἀσκήσει νενικηκότων.

Καὶ δὲ τὰς σεπτὰς ἡ ἁγίας Φάλαγγας τῶν Ποιμένων ἡ Διδασκάλων τῆς οἰκεμένης εἰς μεσιτείαν παρίημι· ἀλλὰ προσκαλοῦμαι ἡ τούτους συνεξιλάσασθαι ἡ συνεκδυσωπῆσαι Σὲ τὸν Πατέρα ἡ Ποιητὴν τοῦ παντὸς, τὰς ἀναιμάκτους ἑαυτῶν θυσίας ἐν χερσὶν ἔχοντας, ἡ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἡ ἀρετῆς ἱδρῶτας ἡ τὰ παλαίσματα. Γυναῖκας δὲ ἡ μάλιστα Παρθένους σεμνὰς, ἡ ὁσίας, τὴν τῶν ἀνδρῶν ἀλλαξάμενας Φύσιν, ἡ τὸν χρηστὸν τοῦ εὐαγγελίου ὑποδῦσαι ζυγὸν· ὑπὲρ ἐμοῦ ἱκετηρίαν προσάγουσι, προεικοῦσαι τὴν ἀναχώρησιν ἑαυτῶν ζωὴν, ἡ τὸν ἀσκητικὸν βίον ἡ ἀθλητικὸν, ἡ εἰς ἔλεον προκαλέσασθαι.

Τοσούτους ἔχων, ἡ τηλικούτους πρεσβάτας, πρέσβεις, ἡ μεσίτας δέομαι ὁ ἁμαρτωλὸς, ἡ ἀνάξιος· μὴ ἀποπέμψῃς με Κύριε κατησχυμμένον· μηδὲ ἀποδοκιμάσῃς με ὡς ἀνάξιον, μηδὲ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου ὡς ἀπαρέγκλιτον· ἀλλὰ συναρίθμησον με τοῖς ἐκλεκτοῖς σου προβάτοις ἡ τῆς τῶν σῳζομένων ἀξίωσον χάριτος τε ἡ τάξεως, ὡς ἐλεήμων, ἡ συμπαθὴς, ἡ φιλάνθρωπος, ἡ τῇ τῶν ἁμαρτωλῶν συνδρομὴ σωτηρία. Ὅτι σὺ εἶ ὁ Θεὸς, ἡ Πατὴρ ἡμῶν. ἡ πρὸς σὲ ἁμαρτάνοντες ἐπιστρέφομεν· ἡ σοῦ ἐσμὲν τέκνα, εἰ ἡ μὴ μικτὰ δι' ἁπροσεξίαν ὑπῆρξάμεν. Καὶ Σοὶ τὴν δόξαν, ἡ εὐχαριστίαν, ἡ προσκύνησιν ἀναπέμπομεν· σὺν τῷ μονογενεῖ σου Υἱῷ, ἡ τῷ παναγίῳ, ἡ ἀγαθῷ, ἡ ζωοποιῷ σου Πνεύματι, νῦν, ἡ ἀεὶ, ἡ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐχὴ Θ'. κατανυκτικὴ εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Σωτήρ μου· βλέξον εἰς τὴν καρδίαν μου τὴν ὀρεκτὸν τῆς χαρίτος σου, ποτίσατω με αὐτὴν τὴν διανοιαν ἡ κοσμησατω αὐτὴν τοῖς ἀνθεσι τῆς κατανύξεως, τῆς ταπεινωσεως, τῆς ἀγάπης, ἡ τῆς ὑπομονῆς. Καὶ τί ταῦτα λεγω; Ἰδὲ γὰρ ἡ εὐχή μου ἀσθενής, ἡ αἱ ἁμαρτιαι μου μεγάλαι, ἡ ἰσχυραί· αἱ ἁμαρτίαι μου θλίβουσί με, ἡ αἱ ἀσθένειαι μου ἀναγκάζουσί με βοᾶν σοι· Ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ἄνοιξον τὰ ὄμματα τῆς διανοίας μου· ἵνα διαπαντὸς τὸ κάλλος σου θεωρῶ· ὁ ἀνοίξας τὸ στόμα τῆς ὄνου τοῦ Βαλαὰμ, ἄνοιξον τὸ στόμα μου εἰς ἔπαινον ἡ δοξαν τῆς χαριτός σου. Ὁ θέμενος ὅριον τῇ θαλάσσῃ τὸν λόγον τοῦ προσάγματός σου, θὲς ὅριον τῇ καρδίᾳ μου διὰ τῆς χάριτός σου· ἵνα μὴ ἐκκλίνῃ δεξιὰ, ἢ ἀριστερὰ ἀπὸ τῶν ἐντολῶν σου. Οὐδὲς ὑδωρ ἐν ἐρήμῳ λαῷ ἀπειθοῦντι, ἡ ἀντιλέγοντι, δός μοι κατάνυξιν, ἡ τοῖς ὀφθαλμοῖς μου δάκρυα, ἵνα θρηνήσω ἡμέρας ἡ νυκτὸς τὸν τῆς ζωῆς μου χρόνον, μετὰ ταπεινοφροσύνης, ἡ ἀγάπης, ἡ καθαρᾶς καρδίας.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε, ἡ δώρησαί μοι ἐκ τοῦ σπόρου τοῦ ἁγίου τῆς χαριτός σου· ἵνα προσενέγκω σοι δάγματα κατανύξεως. Δόξα τοίνυν σοι τῷ δεδωκότι μοι ὅπως προσενέγκω σοί. Εἰσάκουσον Κύριε τῆς προσευχῆς τοῦ δούλου σου· πρεσβείαις πάντων τῶν ἁγίων σου· ταύτην τὴν ἐξομολόγησίν μου προσφέροντος. Ἥμαρτον εἰς τὸν οὐρανὸν, ἡ ἐνώπιόν σου· Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ ἡ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου, οὐδὲ ἀτενίσαι ἡ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν μου· οὐδὲ ὀνομάσαι τὸ ὄνομά σου τὸ ἔνδοξον διὰ τῶν χειλέων μου τῶν ἁμαρτωλῶν· Ἀνάξιον γὰρ ἐμαυτὸν πεποίηκα τοῦ οὐρανοῦ, ἡ τῆς γῆς, σὲ παροργίσας τὸν ἀγαθὸν μου Δεσπότην. Δι' ὃ δέομαί σου Κύριε, μή με ἀποῤῥίψῃς ἀπὸ τοῦ προσώπου σου· μηδὲ ἀποσῇς ἀπ' ἐμοῦ· ἵνα μὴ ἀπόλωμαι. Εἰ μὴ γὰρ ἡ χάρις σου ἐβοήθησέ μοι πρίν, ἐγὼ ἀπωλόμην, ἡ ἤμην νῦν ὡς μὴ ὤν· σὺ γὰρ σε κα-

σε κατέλιπον, ὁ συνήντησέ μοι ἡμέρα ἀγαθή. ἡ γὰρ ἐν ἁμαρτίαις δοκοῦσα ἀγαθὴ ἡμέρα εἶναι, ἢ τῶν πικρῶν αὐτῶν πικροτάτη τυγχάνει) ἢ εἰ μὴ ἡ αὐτὴ χάρις σε βοηθήσοι μοι νῦν, ἐγὼ πάλιν ἔσομαι ὡς μὴ ὤν. Ὅθεν βεβαίως ἐλπίζω, ὅτι ἐνδυναμώσεις με τῇ χάριτί σε, Κύριε ὁ Θεός με· ἵνα φροντίσω τῆς ἐμαυτοῦ σωτηρίας. διὸ ὃ ἢ προσπίπτω σοι δεόμενος. Ἀντιλαβοῦ με τοῦ πλανηθέντος ἀπὸ ὁδοῦ δικαιοσύνης. ἔχεε ἐπ' ἐμὲ τὸ πλῆθος τῶν οἰκτιρμῶν σε, ὡς ἐπὶ τὸν ἄσωτον Υἱόν, ὅτι κατῃσχυνά με τὸν βίον, σκορπίσας τὸν πλοῦτον τῆς χάριτός σε. ἐλέησόν με ὁ Θεὸς ἢ ἀμνησικάκησον ἐπὶ τῷ πεφαυλισμένῳ με βίῳ. Οἰκτείρησόν με ὡς τὴν Πόρνην, ἢ τὸν Τελώνην, ἢ τὸν λῃσήν. ἤτοι γὰρ ἐπὶ γῆς ὄντες ἀπεγνώσθησαν ὑπὸ πάντων. Σὺ δὲ Κύριε προσελάβου αὐτὰς, ἢ παραδείσου τρυφῆς οἰκήτορας πεποίηκας. δέξαι κἀν ἢ ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σε, ἢ τὴν μετάνοιάν με· ὅτι καγὼ ἀπεγνώσθην ὑπὸ πάντων. ἦλθες γὰρ, ὁ δικαίους καλέσαι, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Ὅτι σοὶ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Εὐχὴ Θ'. εἰς τὴν παναγίαν, ἢ ὁμοούσιον Τριάδα.

Τριὰς ὁμοούσιε ἢ ἀδιαίρετε. Κυριότης μία τρισσολαμπής. Ἀκατάληπτε ἢ μόνη Κυριαρχία τρισήλιε. Εὐχαριστῶ σοι, εἰ ἢ μὴ τυγχάνω αὐτάρκης πρὸς εὐχαριστίαν τῶν ἀπείρων σε εὐεργεσιῶν. ὅτι τῷ ἀγαθῷ νεύματι τῆς βασιλείας σε, εἰς ὁδὸν σωτηρίας ὡδήγησάς με· ἢ Φίλτρον μοναδικὸν βίε τῇ καρδίᾳ με ἐνέθηκας· ἢ μετὰ χαρᾶς τὸ κόσμε, ἢ τῆς αὐτοῦ ἀπάτης ἀποσῆναί με ἐνεδυνάμωσας· ἢ ἀγγελικῷ σχήματι τῆς ἀσκητικῆς τάξεως κατεκόσμησας· ἢ συναριθμηθῆναί με τοῖς προβάτοις τῆς ποίμνης σε κατηξίωσας· ἢ ἐν τῇ νομῇ τῆς θείας σε διδασκαλίας πλουσίως διεθρεψας. ὧν μεγαλείων ἐποίησάς μοι ὁ Θεὸς τί ἀνταποδώσω σοι; αἰνέμόν σε, εὐλογημόν σε, προσκυνημόν σε, δοξολογημόν σε, εὐχαριστημόν σοι εὐεργέτα τῶν ψυχῶν ἢ τῶν σωμάτων ἡμῶν. Ὅτι ἀγαθὸς, ἢ φιλάνθρωπος Θεὸς ὑπάρχεις, ἢ σοὶ τὴν δόξαν ἀναξίοις χείλεσι, ἢ αἴνεσιν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν, καὶ εὐχαριστίαν, πρὸς δὲ καὶ προσκύνησιν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙΟΔΟΣ Ι'.

Εὐχὴ Ι'. εἰς τὸν Φιλάνθρωπον Θεὸν καὶ Πατέρα.

Δέσποτα Κύριε Παντοκράτορ ὁ ὑπεράπειρος, καὶ ἀνέκφραστος, καὶ ἀΐδιος πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας ὁ Πατὴρ, ὁ ὑπερδύναμος ὑπερίδρυσις, ὁ πάσαις διανοίαις ἀδιανόητος, καὶ ὑπ' ἐδενὸς τῶν ἀνω Τάξεων γινωσκόμενος, τὸ ὑπερβάλλον καὶ ἀτέκμαρτον μέγεθος, ὁ παναίτιος, καὶ πηγαία, καὶ ὑπεραφθονος ἀγαθότης, ὁ ὑπερεκβλύζων ἐπὶ παντα τὰ ὄντα τὴν ἄφατόν σε ἀγαθότητα· καὶ μεταδιδοὺς παντὸς ἀγαθοῦ τοῖς οἰκείοις ποιήμασι, κατὰ τὴν ἑκάστου τάξιν, καὶ δεκτικὴν δύναμιν. Ὁ ἐπὶ μετουσίᾳ τῶν οἰκείων ἀγαθῶν ποιήσας τὸν ἄνθρωπον, καὶ πᾶσι καλοῖς θεοειδῶς κατακοσμήσας· ἵνα καὶ δι' αὐτοῦ δοξάζηται τὸ μεγαλοπρεπές σου ὄνομά σε ἐπὶ τῆς γῆς. καὶ καταβραγέντα τοῦτον τῇ ἁμαρτίᾳ, πάλιν ἐπὶ τὸ κρεῖττον ἀναπλάσας ἐν τῷ Χριστῷ σου, (δι' οὗ τὰ πάντα παρήγαγες) ἀνεβίβασας εἰς οὐρανούς.

Εὐχαριστῶ σοι, ὅτι ἐμακροθύμησας μέχρι τοῦ νῦν καὶ οὐκ εἴασας συναπολέσθαι ταῖς ἁμαρτίαις μου. Εὐχαριστῶ σοι, ὅτι μυριάκις ἐπιστρέψας, παρεκάλεσάς με, καὶ ἐν ἡμέρᾳ κακῶν ἐσκέπασάς με. ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας καὶ ἡ δεξιά σου ἀντελάβετό μου. καὶ ἡ παιδεία σου ἐνόρθωσέ με εἰς τέλος. Εὐχαριστῶ σοι, ὅτι ἐγένου μοι ὁδηγὸς, καὶ Φωτισμὸς, καὶ ἀντίληψις. καὶ ἔτι ἐν λόγοις, καὶ λογισμοῖς, καὶ ὑποδείγμασιν, ἀεὶ πρὸς σωτηρίαν ὁδηγεῖς, καὶ Φωτίζεις με. Εὐχαριστῶ σοι, ὅτι ἀνάξιον ὄντα με εὐεργετεῖς, καὶ καλεῖς καὶ παρακαλεῖς, καὶ λίαν ἡμαρτηκότι Φιλανθρωπεύῃ ἐπ' ἐμοὶ τῷ ἀγνώμονι δῆλῳ σε, τῷ ὅλην μου τὴν ζωὴν ἐν ἁμαρτίαις καταναλώσαντι.

Νῦν ἐν πολυέλεε Φιλανθρωπε Κύριε, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴν αὐτοῦ ἀναμένων καὶ προσδεχόμενος·

ὁ σῴζων τὺς ἀπηλπισμένυς, ἡ ἀναζωῶν τὺς τεθανατωμένυς· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἀνάξιον δῦλόν συ. ἡ κατερραγμένον ἀνάσησον. ἡ συντετριμμένον Θεράπευσον. Καὶ τῇ ἀπ' αἰῶνος ἀκαταλήπτῳ συ χρησότητι, τῶν ἐμῶν ἐπιλάθυ ἀνομιῶν ὧν ἐν ἔργῳ, ἡ λόγῳ ἡ διανοίᾳ, κατὰ γνῶσιν, ἢ ἄγνοιαν ἐπλημμέλησα. λῦσον τὴν πωρωσιν τῆς ὀλισθηρᾶς μυ καρδίας, ἡ δώρησαί μοι δάκρυα κατανύξεως, εἰς κάθαρσιν τῦ ῥύπυ τῆς διανοίας μυ. Καὶ μὴ ἀτοσραφῇς με τὸν ῥυπαρὸν. μὴ καταισχύνῃς με τὸν ἀναγῆ τῇ προαιρέσει, ἡ ἐβδέλυγμένον ἐκ τῆς σαπρίας τῶν ἔργων μυ. Εἰσακυσον Κύριε. ἱλασθητι Κύριε. ἡ τῶν ἐν ἐμοὶ βασιλευόντων παθῶν τὴν ἀθλίαν μυ ψυχην ἐλευθέρωσον· ἵνα ἐν καθαρῷ συνειδότι πρσεύχωμαι τῷ Φοβερῷ ἡ ὑπερενδοξῳ ὀνόματί συ. Καὶ μηκέτι κατακρατείτω μυ ἡ ἁμαρτία. μηδὲ καταδυναστευέτω μυ ὁ πολέμιος Δαίμων μηδὲ εἰς τὸ αὐτῦ με θέλημα ὑπαγέτω. ἀλλὰ τῇ παντοδυνάμῳ νεύσει τῆς εὐσπλασγχνίας συ, τῆς ἀμφοτέρων με λύτρωσαι δεσποτείας. Ὅτι σὸν τὸ κράτος ἡ ἡ δύναμις ἡ ἡ δόξα σὺν τῷ μονογενεῖ συ Υἱῷ ἡ τῷ ἁγίῳ συ Πνεύματι, νῦν, ἡ ἀεὶ, ἡ εἰς τὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Γ'. εἰς τὸν Κύριον ἡμῶν Ἰησῦν Χριστὸν Μιχαὴλ Κριτοπύλυ τῦ Ἰμβριώτ.

Δέσποτα Κύριε Ἰησῦ Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ μόνος συμπαθὴς ἡ εὐδιάλλακτος. ἡ τῦ ἐλέυς πηγὴ τὸ τῆς Φιλανθρωπίας ἀνεξάντλητον πέλαγος. ὁ μὴ δικαίυς ἐλθὼν καλέσαι, ἀλλὰ ἁμαρτωλὺς μετανοῆντας. Πρόσδεξαι, ὁ ἑβδομηκοντάκις ἑπτὰ συγχωρεῖν ἁμαρτίας, Πέτρῳ τῷ κορυφαίῳ τῶν σῶν μαθητῶν ἡ Ἀποστόλων ἐγκελευσάμενος ἐρωτήσαντι· ἅμα μὲν ἐκ τύτυ ἡ τὸ ἄπειρον τῆς σῆς χρησότητος, ἡ Φιλανθρωπίας ἐμφαίνων· ἅμα δὲ ἡ πᾶσι τοῖς ἡμαρτηκόσιν εὐσπλάγχνως, ἡ συμπαθῶς θύραν μετανοίας ἀνοίγων ἡ καιρὸν ἐπισρεφῆς χαριζόμενος, ἡ τῇ ἀπογνώσει μηδαμῦ χώραν δίδυς. αὐτὸς Δέσποτα Φιλάνθρωπε, ὁ ἐκ πάσης παρακλήσεως. Πατὴρ οἰκτιρμῶν. ἐλέυς Κύριε, συμπαθείας ἄβυσσε, ἀγαθό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γαθότητος πέλαγος. εὐσπλαγχνίας πηγή. μακροθυμίας τε καὶ ἀνεξικακίας ἀκένωτε θησαυρέ. πλανωμένων ὁδηγέ. πεπτωκότων ἀνόρθωσις. ἀπηλπισμένων ἐλπίς. ἀπεγνωσμένων παραμυθία. καὶ πάντα πάντα ὢν. καὶ γινωσκόμενος δι' ἐμέ, καὶ τὴν ἐμὴν σωτηρίαν· πρόσδεξαί νῦν κἀμὲ τὸν ἁμαρτωλὸν, καὶ ἀνάξιον δοῦλόν σε, μετανοοῦντα, καὶ προσερχόμενον μετὰ συντετριμμένης καρδίας, καὶ πνεύματος ταπεινώσεως, καὶ λύσιν ἐξαιτοῦντα τῶν πολλῶν, καὶ δεινῶν πλημμελημάτων, ὧν ἐν γνώσει τε, καὶ ἀγνοίᾳ ἀσύγνωστα ἥμαρτον παρὰ πάντα τὸν βίον· καταπατήσας μὲν τοὺς νόμους τοὺς σοὺς, ἀθετήσας δὲ τὰς σὰς ἐντολὰς, παραβὰς δὲ τὰ σὰ προστάγματα, ἀλογήσας δὲ τῶν χρηστῶν σε καὶ σωτηρίων παραγγελμάτων· ὅλος τε μακρυνθεὶς ἀπὸ σοῦ, καὶ τῶν σῶν, καὶ ὀπίσω τῆς πονηρᾶς διανοίας μου πορευθεὶς, καὶ γενόμενος ἐπίχαρμα τῷ Διαβόλῳ, καὶ τοῖς πονηροῖς αὐτοῦ δαίμοσιν, ἐξ ἅπαντος τρόπου τούτων πλημμελῶν τὰ προστάγματα.

Καὶ νῦν Κύριε Κύριε, ὥσπερ ἐκ βαθυτάτου ὕπνου, καὶ μέθης, ἢ κάρου, ὀλίγου καὶ μόνον ἀνανήψας τῆς ἁμαρτίας, καὶ εἰς ἐμαυτὸν συστραφεὶς, καὶ συναίσθησιν λαβὼν τῶν οἰκείων κακῶν· πανταχόθεν τε ἐμαυτὸν ἐξετάσας, καὶ ἔρημον εὑρὼν παντὸς ἀγαθοῦ, καὶ τῆς φωτοειδοῦς, καὶ λαμπρᾶς καταστολῆς τοῦ θείου λουτροῦ ἣν μοι ἐνέδυσας, γυμνὸν ὅλον καὶ ἐξηπορημένον ὑπὸ τῆς ἁμαρτίας, καὶ σύνοντα, καὶ τρέμοντα, καὶ λιμώττοντα, καὶ πᾶσι κακοῖς ἐνεχόμενον· ὅλος τε ἐξαπορηθεὶς, καὶ πάντων τῶν ἄλλων ἀπογνοὺς, εἰς μνήμην ἦκον τῆς προτέρας ζωῆς, ἐν ᾗ με κατέστησας. καὶ ἧς διὰ κακίαν ἐξέπεσον· καὶ τῶν χρηστῶν σου καὶ κηδεμονικῶν ἅμα, καὶ φιλαγάθων, καὶ πατρικῶν ἀνεμνήσθην σπλαγχνων, καὶ πρὸς τὸν ἐμὸν γνησίως ἐπιστρέφω Δεσπότην. καὶ θαρρήσας ἐμαυτὸν τοῖς ποσὶν ἐπιρρίπτω τοῖς σοῖς, μέγα κεκραγὼς, καὶ βοῶν ἐκ βάθους ψυχῆς, κατὰ τὸν ἄσωτον ἐκεῖνον Υἱὸν, ἥμαρτον εἰς τὸν οὐρανὸν Κύριε, καὶ ἐνώπιόν σου. Δέξαι οὖν με ἀγαθὲ καὶ φιλάνθρωπε Κύριε μετανοοῦντα, καὶ ἐπιστρέφοντα, καὶ προσερχόμενον θαρρήσαντος τῇ σῇ ἀφάτῳ χρηστότητι, καὶ ἀμέτρῳ συμπαθείᾳ, καὶ ὑπεραγάθῳ βασιλείᾳ. Δέξαι με τὸν ἀνάξιον δοῦλόν σου, τὸν πολλὰ ἐπταικότα, καὶ παροργίσαντα, καὶ παραπικράναντα τὰ φιλάνθρωπα σπλάγ-

σπλάγχνα σε. Δέξαι με τὸ πλάσμα τῶν χειρῶν σε. τὸ ἴδιον δημιούργημα, ὃ ἐτίμησας εἰκεία εἰκόνι, ἢ τῇ κατὰ πάντων ἀρχῇ. ᾧ μόνῳ, λόγον ἐχαρίσω, τῶν ἄλλων ζώων, ἢ ὃ, πολλοῖς, ἢ μεγάλοις ἐκόσμησας ἀγαθοῖς· ὑπὲρ ἓ, νόμον ἔδωκας. Προφήτας ἀπέστειλας· ἄλλα μυρία εἰργάσω. δι' ὃν, ἄνθρωπος γέγονας, Θεὸς ὢν ἢ Δεσπότης, ἢ πᾶσαν τὴν φρικτὴν οἰκονομίαν ἐκτελέσας. ἢ παθῶν, ἢ σαυρὸν ὑπεμείνας, ἢ θάνατον, ἢ ταφήν· ἵνα ἢ θανάτου, ἢ παθῶν, ἢ ἁμαρτίας ἐλευθερώσῃς ἐμὲ, ἢ πρὸς τὴν προτέραν ἐπανάξῃς οἰκειότητα, ἢ υἱοθεσίαν, ἢ τῆς σῆς βασιλείας κληρονόμον ποιήσῃς.

Εἰ τοίνυν ταῦτα πάντα φιλανθρώπως, ἢ πεποίηκας, ἢ ὑπέμεινας δι' ἐμὲ, πῶς νῦν ἐάσεις ὦ Δέσποτα, θήραμα γενέσθαι τῷ Διαβόλῳ; ἢ τῆς σῆς ἀπείρου δυνάμεώς τε ἢ ἀγαθότητος, ἢ σοφίας καταυχήσασθαι τὸν ἀποστάτην, ἢ πονηρὸν δραπέτην δαίμονα; ὡς μὴ μόνον τὸν ἄνθρωπον ἁρπάσαντα; ἢ τῆς τε Παραδείσου διαγωγῆς ἐξορίσαντα, ἢ τῆς ἐκείσε τερήσαντα μακαρίας ζωῆς· ἀλλὰ ἢ μετὰ τὴν ἀπόῤῥητον οἰκονομίαν, ἢ τὴν φρικωδεστάτην θυσίαν, ἢ τὸ χυθὲν αἷμα τὸ σὸν, ἢ δεσποτικὸν, τὸ μέγα ἢ περιβόητον, δι' ὃ ἡμᾶς ἐξηγόρασας, ἔτι ἢ νῦν συναρπάζειν δυνάμενον τὸς τοσούτου τιμήματος ὠνητὲς δέλους σοὺς, ἢ πρὸς τὸ οἰκεῖον τῆς ἀπωλείας συναπάγοντα βάραθρον; Μὴ Δέσποτα φιλάνθρωπε· μὴ βασιλεῦ αἰώνιε· μὴ παντοδύναμε Κύριε. μὴ τηλικαύτην νίκην νικήσῃ καθ' ἡμῶν ὁ τῆς ἀληθείας ἐχθρὸς, ὁ ἀλιτήριος δαίμων. μηδὲ τοσοῦτον δυνηθείη ἡ ἡμετέρα κακία.

Ἥμαρτον μὲν, ἀλλὰ σοῦ οὐκ ἀπέστην. Ἥμαρτον. ἀλλὰ σὲ Θεὸν ἐπιγράφομαι. ἥμαρτον πολλὰ ἢ μεγάλα, ὁμολογῶ· ἀλλ' εἴσω πίπτω τῆς σῆς χρηστότητος, ἢ φιλανθρωπίας. αὕτη δὲ πέρας οὐκ ἔχει. τί τοσοῦτον ἥμαρτον ὁ πηλὸς, ὅσον αὐτὸς δύνασαι λύειν; τί τοσοῦτον παρέβην, ὅσον αὐτὸς συγχωρεῖς; τί τοσοῦτον ἠνόμησα, ὅσον αὐτὸς ἀφίης; τί τοσοῦτον ἔπταισα, ὅσον αὐτὸς συμπαθεῖς; εὔσπλαγχνος φύσει, ἢ μακρόθυμος ὤν; ὐδὲν μέγα πάντα τὰ τῶν ἀνθρώπων ἁμαρτήματα εἰς ἓν συνελθόντα, πρὸς τὴν ἄπειρον ἄβυσσον τῆς σῆς χρηστότητος. ἢ φιλανθρωπίας παραβαλλόμενα. Καὶ διὰ τοῦτο. Δέσποτα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σποτα Φιλάνθρωπε, δικαιολογῆμαι, ἡ πρὸς τὴν ἐμὴν καθαρότητα ἀποβλέπων. ἀκάθαρτος γὰρ ἐγὼ παντὸς μᾶλλον ἢ βέβηλος, ἢ πόρρω τῶν σῶν ἐντολῶν, ἢ τῇ ἰσχύι, ἢ τῷ βορβόρῳ τῶν ἐμῶν ἀμέτρων κακῶν, ὥσπερ σῦς, ὅλος ἐγκαλινδύμενος· ἀλλὰ τὸ ἄπειρον τῆς σῆς χρηστότητος ἐννοῶν, ἢ πρὸς τὸ ὕψος ἢ μεγαλεῖον τῆς σῆς ἀγαθότητος ἢ φιλανθρωπίας ὁρῶν, ἣν ὑδὲν τῶν ἀνθρωπίνων ἁμαρτημάτων νικῆσαι δύναται.

Δέξαι ἂν με Κύριε ἐπιστρέφοντα μετὰ δακρύων, ἢ συναγμῶν, ἢ μετανοοῦντα ἐφ' οἷς ἐπλημμέλησα, ἢ συγγνώμην αἰτοῦντα, κἀμφθῆτι ταῖς ἐμαῖς λιταῖς, ἢ δεήσεσι. Σπλαγχνίσθητι ὡς συμπαθής, οἰκτείρον ὡς μακρόθυμος, ἐλέησον ὡς φιλάνθρωπος, ἢ συγχώρησόν μοι ὅσα σοι ἥμαρτον. Δέξαι με τὸν σὸν δοῦλον, εὐχαριστοῦντα μὲν, ὅτι ἐκ ἡδὴ συναπώλεσάς με ταῖς ἀνομίαις μου, μακροθυμήσας ἐπ' ἐμοί· ἐξαιτοῦντα δὲ λύσιν τῶν ἐπταισμένων μοι, ἢ τελείαν ἀπαλλαγὴν, ἢ συγχώρησιν παρὰ τῆς σῆς ἀγαθότητος. Εἰς δὲ τὸ ἐξῆς ἱκετεύω ἢ πάνυ δέομαι, στήριξόν με τῇ σῇ πίστει, ἢ ἐλπίδι, ἢ ἀγάπῃ βεβαίᾳ. ἢ ἀκλόνητον διατήρησόν μου πᾶσαις ταῖς τῦ πονηρῦ μεθοδείαις, ἢ προσβολαῖς· ἵνα μὴ συναρπάσῃ με ἡ κακία πρὸς βάραθρον τῆς ἀπωλείας, μηδὲ γένωμαι θήραμα τῷ ἐχθρῷ. Ἀγγέλῳ πιστῷ φύλακι παράκατάθες τὴν ἐμὴν ζωὴν, ὁδηγοῦντι, ἢ ἰσχύοντι πρὸς τὸ ποιεῖν τὸ σὸν θέλημα, ἢ τὰς σὰς καλῶς ἀποπληροῦν ἐντολάς.

Ναὶ Δέσποτα μακρόθυμε, πολυέλεε Κύριε, νοητὲ ἥλιε, βασιλεῦ τῆς δόξης· τῶν κατ' ἐμὲ ἁμαρτιῶν ἡ τελεία συγχώρησις ἢ συμπάθεια. Ναὶ γλυκύτατε Ἰησοῦ, ἀναψυχή μου, ἢ παρηγορία, παραμυθία, παράκλησις, γλυκυθυμία, γάνος τῆς ἐμῆς ψυχῆς, χαρὰ πεπληρωμένη· ἀγάπη τελεία, ἔρως θεοειδὴς, ζωὴ ἄλυπος, ἕφεσις τῶν καλῶν, εἰρήνη ὑπερέχουσα πάντα νοῦν. Ναὶ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, χειρῶν ἔκτασις, ποδῶν βάσις, μελῶν συμφυία, ὁλοκληρία τοῦ ὅλου μου σώματος, ἁπλῶς, πάντα. Σοὶ μόνῳ, Δέσποτα Χριστὲ, προσανέχω· σοὶ ζῶ· σοὶ κινοῦμαι· σοὶ ἢ εἰμὶ· εἰ ἢ ἥμαρτον ὑπὲρ πάντας. Κάθαρόν με τὸν νοῦν τῆς ὑλικῆς προσπαθείας καὶ τῶν ματαίων ἐννοιῶν, ἢ τῶν ἀτόπων, ἢ πονηρῶν ἐνθυμήσεων, ἢ προλήψεων,

αἳ με

αὖ με συνέχεσι, ἡ συμπνίγεσι νῦν, καὶ πολιορκεῖσι. δός μοι πόθον ψυχῆς ἀγαθὸν, ἡ λογισμὸν ἔμμονον, ἡ καρδιακὴν ἔφεσιν, ἡ μελέτην διηνεκῆ, τῆς σῆς Φωτοπαρόχου μνήμης, ἡ τελείας ἀγάπης· ὥστε Φαντάζεσθαι τὸ σὸν ἐράσμιον κάλλος ἀεὶ, ἡ τὴν σὴν ὡραιότητα βλέπειν. Ἀπόπλυνον τελείως τῷ σπίλῳ τῆς ἁμαρτίας, ἡ ἀπόσμηξόν με ἑύπου παντὸς ἐμπαθοῦς, ἡ μολυσμοῦ, ἡ κηλίδος σαρκὸς ἡ πνεύματος. Καὶ παράσχου μοι σαθρὰν γαλήνην ἡ εἰρήνην βαθεῖαν τῶν λογισμῶν· ἵνα διὰ πάντων τῆς τῆς ἀπολαύσας χρηστότητος, ἡ μακροθυμίας, ἡ τῆς πολλῆς ἀγαθότητος· ἡ τῷ σῷ θείῳ ἐλέει πλεονάσας τυχὼν, εὐχαριστῶ, δοξάζω, ὑμνῶ ἡ μεγαλύνω τὸ σὸν πανάγιον ὄνομα, καὶ τὸν ἀνάρχου σου Πατρὸς, καὶ τὸ παναγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχαὶ λεγόμεναι πρὸ τοῦ ὑπνῶσαι·

Εὐχὴ Α'. Γρηγορίου τοῦ Θεολόγου εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Ἱκετήριος, καὶ κατανυκτική.

Ὁ Θεὸς ὁ Θεός μου, ὃν τὰ Χερουβὶμ, καὶ πᾶσαι αἱ ἄβυσσοι τρέμουσι· τὸ τῆς ἀγαθότητος ἀνεξιχνίαστον πέλαγος, ὁ ἀεὶ ἐπακούων τῶν ἐν συντετριμμένῃ καρδίᾳ ἐπικαλουμένων σε, ὁ τὴν νύκτα ποιήσας πρὸς ἀνάπαυσιν, καὶ σωτηρίαν τοῦ σοῦ πλάσματος, ὁ καταζιώσας με τὸν παλαίπωρον τῆς ἡμέρας Θάσαι τὸ τέλος· ὁ εἰπὼν, πρὶν ἢ ἐπικαλέσῃς με, πάρειμι, καὶ ἔτι λαλοῦντός σου ἐλθὲ καὶ νῦν. Δέσποτα μέχρις ἡμῶν τῇ ἀοράτῳ σου παρουσίᾳ, ἐκ τῶν πατρικῶν κόλπων τοῦ σοῦ Γεννήτορος, ὅθεν οὐκ ἐχωρίσθης ποτε, καὶ κλῖνον τὸ οὖς σου πρὸς τὴν ἡμετέραν ἀσθένειαν. Κύριε ὁ Θεὸς, ὁ ὑπερβλύζων ἔλεος καὶ χρηστότητα, ὁ ἀεί με προσκαλούμενος, τὸν ἀεί σε ἀποστρεφόμενον ἡ παρὰ σοῦ εὐεργετούμενον, ἐξαπόστειλον ἐν ἐμοὶ τῷ ἀθλίῳ κατάνυξιν, ἡ δεῖξον, ὡς ποτε τὴν ἐν ἐρήμῳ πέτραν, τὴν λιθωδη ἡ πεπωρωμένην μου καρδίαν, δακρύων φέρειν πηγάς. Ἰδοὺ γὰρ Δέσποτα, μετὰ φόβου, ἡ τρόμου σοὶ προσπίπτω, ἡ δέομαι. Κύριε Κύριε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριε, συγχώρησόν μοι τὰ δι' ὅλης τῆς ἡμέρας, ἢ τῷ βίῳ μου παντὸς ἐν ἀγνοίᾳ, καὶ γνώσει, ἢ ἐνθυμήσει μου πταίσματα. οἶδα γὰρ, ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, καὶ πλάσα φιλόψυχε, ἢ διὰ τοῦτο πρὸς δέησιν ἀπετόλμησα. ἐκ ἐποίησάς σε, κἂν μίαν ὥραν, θέλημα, ἐδὲ ἓν ἀγαθὸν, Κύριε, παντὸς γὰρ ἀνθρώπου θέλημα, ἢ ἐνθύμημα, ὅλον πονηρόν· ὅλον βδελυκτόν· ὅλον βιωτικόν. Πῶς γὰρ δύναται χοῦς ἢ πηλὸς, ὁ ἢ μολίβδου βαρύτερος, πετάσαι ἢ ἀνελθεῖν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ; κἀκεῖθέν τι μαθεῖν ἀγαθόν;

Βλεψον. Δέσποτα· σοὶ ἀνατίθημι πᾶσάν μου ἀσθένειαν. ἱλάσθητι. ἐλέησον· σοὶ γὰρ προσέρχομαι αὐτοκατάκριτος, ἢ ἀναπολόγητος· σοὶ ὡς ἀπρόσωπος, ἢ ἀπερίσκεπτος· τὸν αὐχένα κλίνω ἢ εἰς γῆν νεύω τὸ πρόσωπον· ἐρυθριῶ ἢ φρίττω τὸν οὐρανὸν ὑπαρροῖς θεάσασθαι ὀφθαλμοῖς. Σοὶ μὲν κλίνω γόνυ καρδίας ἢ σώματος· χεῖρας δὲ αἴρω σαρκὸς, μετὰ δακρύων, ἢ στεναγμῶν κατανύξεως· δέομαι Κύριε Κύριε, βοήθεί μοι, ἢ τῷ πυρὸς τῷ ἀσβέστῳ με λύτρωσαι. Ἔθεντο γάρ με τὸν ἄθλιον ἐπίχαρμα οἱ δαίμονες, κατ' ἐμοῦ ἀναιδῶς ἐπιβαίνοντες. Διὰ τοῦτο Κύριε Κύριε, ταχυνον σπεῦσον, βοήθησον· ἀντιλαβοῦ, ἢ τῷ φοβερῷ σου κριτηρίῳ ἀκατάκριτον παράσχου με καταξίωσον. Καὶ μὴ νικήσωσιν αἱ ὑπὲρ ἄμμον θαλάσσης ἁμαρτίαι μου· ὑπεραγαθε, ἢ μακρόθυμε Δέσποτα, τὴν ἄβυσσον τῆς φιλανθρωπίας σου· μὴ καταλαβέτωσαν ἐν τῇ νυκτὶ ταύτῃ τὴν ἐλεεινήν μου ψυχὴν, αἱ, ἂς ὁ προσδοκῶ, δαιμόνων φαντασίαι καὶ φόβοι νυκτερινοὶ, καὶ πραγμα ἐν σκότει διαπορευόμενον· μὴ νυσάξῃ, μηδὲ ὑπνώσῃ ὁ φυλασσων με ἄγγελος· μηδέ τι τῶν ῥυπαρῶν τῆς ἡμέρας ἢ τῶν μεθ' ἡμέραν· ἢ νὺξ ἐλεγξῃ· ἀλλὰ Κύριε Κύριε, τῷ ἀσέκτῳ ἢ παντοδυνάμῳ φωτὶ τῆς σῆς Θεότητος ὁ νοῦς ἐλλαμπόμενος, ἢ σώματος διχα σοὶ, Θεὲ, προσομιλείτω· τῷ ἀνυσάκτῳ ὄμματι ἢ ἀΰπνῳ.

Χάρισαί μοι τὴν τῆς νυκτὸς ἀνάπαυσιν, ὡς ἐν ἡμέρᾳ διελθεῖν με, ἐν ἀγάπῃ τῆς σῆς ἀνεκφράστου Θεότητος· ἢ δὸς τοῖς βλεφάροις μου ἐλαφρὸν ὕπνον, ὡς μηδὲ τὴν γλῶσσαν, τῶν ὑμνῳδιῶν τὸ ὄργανον, ἐπιποθῆσαι νεκρῶσθαι· μηδ' αὐτὸ τὸ φωτεινὸν πλάσμα σου ἡσυχάζειν· ἢ ἀνά-

ἡ ἀνάσησόν με τῷ ὕπνῳ ἐν ὥρᾳ εὐθέτοις πρός τε τὰς μεσονυκτερινὰς, ἡ ὀρθρινὰς ὑμνῳδίας, τῷ δοξάζειν σε τὸ ἀπρόσιτον Φῶς, μετὰ τῶν ἐρανίων Δυνάμεων, ἡ Ἀγγέλων σε. Ἄκουσον Κύριε, καρδίας βοήσης, ἡ μὴ προσχῇς τοῖς Φαύλοις μου ἔργοις· ἀλλ' ἐπίβλεψον ἐπὶ τὴν ὀδύνην τῆς ψυχῆς μου· ἡ τάχυνον τῷ ἰάσασθαί με χάριν τῆς Φιλανθρωπίας σου. ἡ ῥῦσαί με ἀπὸ τῶν πονηρῶν ἔργων μου· ἡ μὴ ἀντιμετρήσῃς μοι, μηδὲ θελήσῃς ἀποδοῦναί μοι ἄξια ὧν ἔπραξα· ἵνα μὴ τελείως ἀπόλωμαι.

Ἄκουσον Κύριε, ὁ ἀπογνώσει μου ὄντος, ἡ μὴ ἐάσῃς με, δέομαι, διὰ τὰς ὑπὲρ ἄμμον θαλάσσης ἁμαρτίας μου, καθ' ὕπνους ἐν ἀτόποις ἐννοίαις κλέπτεσθαι· ἀλλ' ἀνακάλεσαί με Δέσποτα, τὸν αἰχμάλωτον, ἡ κατεχόμενον ὑπὸ τῶν ἀτόπων πράξεων, ἡ ὡς ὑπὸ αλύσεων σφιγγόμενον. σὺ γὰρ ἐπίσασαι λύειν πεπεδημένους, ἡ ἰᾶσθαι τὰ ἀδηλα τραύματα, ἃ σὺ μονος οἶδας ὁ τῶν κρυπτῶν γνώστης. ἐπιφάνηθί μοι δεινῶς καταπεπτωκότι, ὁ ταχὺς ἐν ἐλέει, ἡ βραδὺς ἐν κολάσει· ἡ τῇ σῇ εὐσπλαγχνίᾳ θελήσον ὀρέξαι μοι χεῖρα, ἡ ἀνασήσαί με ἐκ τῶν βοθρυ τῶν ἀνομιῶν μου. Σὺ γὰρ μόνος ὑπάρχεις ὁ Θεὸς ἡμῶν, ὁ μὴ τερπόμενος ἐπὶ ἀπωλείᾳ ἁμαρτωλῶ· ὁ μὴ ἀποστρεφόμενος πρόσωπον ἐν δάκρυσι πρὸς σὲ ἀτενίζον. Εἰσάκουσον Κύριε, Φωνῆς τῶν δούλων σου βοῶντος πρὸς σέ. Ἐπίφανον τὸ Φῶς σου, τὸ εἰς ἐμὲ ἐσβεσμένον. ἀπόστειλον τὴν τῶν ἁγίων Πνεύματος ἰκμάδα, ἡ χάρισαί μικρὰν προθεσμίαν· ἵνα ἀνασφήλω, ἐμαυτὸν ἀπογνούς. στρέψον μοι „Κύριε τὸν κοπετὸν εἰς χαράν, διάῤῥηξον τὸν σάκκον μου, ἡ περι- Ψαλμ. „ζωσόν με εὐφροσύνην. ἡ δός μοι ἀναπαύσασθαι τῶν ἐσπερινῶν μου κθ'. 19. ἔργων, ἡ τύχοιμι ἀναπαύσεως πρωϊνῆς, ὥσπερ οἱ ἐκλεκτοί σου Κύριε, ὧν ἀπόδρα λύπη, ἡ σωσμός· Καὶ ἀνοιγήτω μοι ἡ θύρα τῆς βασιλείας σου· ἵνα εἰσελθὼν ἐν αὐτῇ μετὰ τῶν ἀπολαυόντων τῷ Φωτὸς τῷ προσώπου σου, τύχω αἰωνίου ζωῆς.

Ναὶ Δέσποτα Ἰησοῦ Χριστὲ, βοήθει μοι· ἡ μὴ ἐάσῃς με ἀπὸ τοῦ νῦν ἁμαρτῆσαι εἰς σὲ, ἡ ἐξακολουθῆσαι τῷ θελήματί μου· μὴ ἐάσῃς με ἀπολέσθαι ταῖς ἁμαρτίαις μου· ἀλλ' οἰκτείρησον τὸ πλάσμα σου, ἡ μὴ παρίδῃς με, ὅτι ἀσθενής εἰμι· μηδὲ ἐγκαταλίπῃς με, ὅτι πρὸς σε κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε κατέφυγον. „Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Ἐνώπιόν σου εἰσὶ πάντες οἱ θλίβοντές με, καὶ οὐκ ἔστι μοι καταφυγὴ, εἰ μὴ πρὸς σὲ Δέσποτα Κύριε Σῶσόν με ἕνεκεν τῶν οἰκτιρμῶν σου. καὶ αἰσχυνθήτωσαν πάντες οἱ ἐπανιστάμενοι ἐπ' ἐμὲ, καὶ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξολοθρεῦσαι αὐτήν. Κύριε ὁ Θεός μου, μνήσθητί μου τοῦ ἁμαρτωλοῦ, καὶ ἀχρεία δούλου σου ἐν τῷ ἐπικαλεῖσθαί με τὸ ἅγιον, καὶ προσκυ- „νητόν ὄνομά σου. καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. καὶ ἀξίωσόν με ἀγαπᾶν, καὶ Φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας μου, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου· ὅτι οὐκ ἔστιν ὅμοιος σοι ἐν Θεοῖς Κύριε, δυνατὸς ἐν ἰσχύϊ, καὶ ἀγαθὸς ἐν ἐλέει, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον. ψαλμ. μ'. 4. ψ. ριή. 115.

Ναὶ Κύριε Κύριε, ὁ ὑπερβαίνων τὰ ἀνθρώπινα πταίσματα, καὶ καλύπτων πλήθη ἁμαρτιῶν, ὁ μὴ ποιήσας ἡμῖν κατὰ τὰς ἁμαρτίας ἡμῶν, μηδὲ ἀνταποδοὺς κατὰ τὰς ἀνομίας ἡμῶν· ἀξίωσόν με ἐν πάσῃ νυκτὶ, καὶ ἡμέρᾳ, καὶ πάσῃ μου τῇ ἀναπνοῇ, τὸν πάσης κολάσεως ἔνοχον, ὡς ὄντα με πάσαις ἁμαρτίαις ὑπεύθυνον· τὸ, τε Φοβερὸν τοῦ θανάτου μυστήριον, καὶ τὴν πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀνυπόστατον ἀπειλὴν καὶ ὀργήν σου, καὶ τὴν Φρικτὴν καὶ δικαίαν σου ἀπόφασιν εἰς τὸ τῆς γεέννης πῦρ με δικαίως ἐκπέμψασαν· ἔχειν ἐν τῇ καρδίᾳ μου ἀεὶ ἀνεπίληπτα. καὶ γυμνὸν, καὶ τετραχηλισμένον ὡς περ, τῷ Φοβερῷ σου κριτηρίῳ παρίστασθαι, καὶ τὴν ἐκεῖθεν ἀπόφασιν ἐκδέχεσθαι. ἵνα ἐντεῦθεν καθηλώσας τὰς σάρκας μου, καὶ καθαρθεὶς νοῦν, καὶ ψυχὴν, καὶ καρδίαν, πλεῖον εὕρωσε ἐν ὥρᾳ τοῦ θανάτου, καὶ τῆς κρίσεως, τῶν τῆς σαρκὸς ἐσόπτρων διαῤῥαγέντων· διὰ τὴν ὑπὲρ φύσιν σου ἀγαθότητα, καὶ διὰ τὰς τῆς Μητρός σου καὶ παναγνου Θεοτόκου, τῆς ἐλπίδος μου μετὰ σὲ πρεσβείας· καὶ πάντων σου τῶν θεοτάτων Ἀγγέλων, καὶ Ἀρχαγγέλων, καὶ διὰ τὰς τῶν ἁγίων σου Πάντων δεήσεις. Ἀμήν.

Εὐχὴ Β'. πρὸ τοῦ ὑπνῶσαι. τοῦ ἁγ'. Ἐφραὶμ τοῦ Σύρου.

Κ Ὑριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ τὴν ἁγίαν σου Μητέρα τιμιωτέραν ἀναδείξας πασῶν τῶν ἐπουρανίων Δυνάμεων·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸς Πανάγαθε, διὰ τῶν πρεσβειῶν αὐτῆς, καὶ πάντων σου τῶν ἁγίων, παρακλήθητι. καὶ συγχώρησόν μοι τῷ ἀναξίῳ δοῦλῳ σου, εἴτι ἥμαρτον σήμερον ὡς ἄνθρωπος· μᾶλλον δὲ, ὡς ἀπάνθρωπος, τὰ ἑκούσιά μου πταίσματα, καὶ τὰ ἀκούσια. τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ. τὰ ἐκ συναρπαγῆς, καὶ ἀπροσεξίας, καὶ πολλῆς μου ῥᾳθυμίας, καὶ ἀμελείας γεγονημένα. εἴτε τὸ ὄνομά σου τὸ ἅγιον ὤμοσα. εἴτε ἐπιώρκησα, ἢ ἐβλασφήμησα κατὰ διάνοιαν. ἢ ἔντινί σε παρώργισα, ἢ ἔκλεψα, ἢ ἐψευσάμην, ἢ φίλος παρέβαλε πρὸς ἐμὲ, καὶ παρεῖδον αὐτόν. ἢ ἀδελφὸν ἔθλιψα, καὶ παρεπίκρανα. ἢ ἰσαμένου μου ἐν προσευχῇ, καὶ ψαλμῳδίᾳ, ὁ νοῦς μου ὁ πονηρὸς εἰς τὰ πονηρὰ, καὶ βιωτικὰ περιεπόλευσεν. ἢ παρὰ τὸ πρέπον ἐτρύφησα. ἢ εὐτράπελα ἐλάλησα. ἢ ἀφρόνως ἐγέλασα. ἢ ἐκενοδόξησα. ἢ ὑπερηφανεύσαμην. ἢ κάλλος μάταιον ἐθεασάμην, καὶ ὑπ αὐτοῦ ἐθελχθην τὸν νοῦν. ἢ τὰ μὴ δέοντα ἐφλυάρησα. ἢ τὸ ἐλαττωμα τοῦ ἀδελφοῦ μου περιεργασάμην, καὶ κατεκρινα αὐτὸν. καὶ τὰ ἐμαυτοῦ ἀναρίθμητα ἐλαττώματα παρεβλεψάμην. εἴτε τῆς προσευχῆς μου ἠμέλησα. εἴτε τι ἄλλο πονηρὸν ἐνενοησα. Ταῦτα παντα, καὶ ἄλλα, ἅπερ ἔπραξα, καὶ ὁ μεμνημαι, συγχώρησον μοι ὁ Θεὸς τῷ ἀχρείῳ δούλῳ σου. καὶ ἐλέησόν με ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος· ἵνα ἐν εἰρήνῃ κοιμηθῶ, καὶ ὑπνώσω ὁ ἄσωτος ἐγὼ· δοξάζων σε σὺν τῷ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ Γ'. Ἐπικοίτιος διὰ στίχων Ἰάμβων Θεοδώρου τοῦ Στουδίτου.

Ὁ Δὸς τὸν ὕπνον, πᾶσιν εἰς λύτρον κόπων,
Ὃν περ παρέσχου, ἡ διαυγὴς ἡμέρα·
Κἀμοὶ παράσχοις, Χριστέ μου Θεοῦ Λόγε,
Ἡδὺν τὸν ὕπνον, κῶφον καὶ ταχυδρόμον,
Ὀνειράτων μὲν, τῶν καλῶν πεπλησμένον,
Φαντασμάτων δὲ, μὴ καλῶν ἐξωσμένον.
Καὶμ' ἐξέγειρον, χρεσματοῦντος τοῦ ξύλου,

Σταθη-

Σταθηρὸν ἀνέγκλητον εὐθύμως ᾄδειν.
Ἰσῶν πόδας μυ καρτερῶς ἐν αἰνέσει.
Φρενῶν νόα μυ, δαιμόνων κακυργίας.
Γλῶτταν τρανῶν μυ, πρὸς τὸ μέλπειν εὐτόνως.
Εἰς δόξαν, αἶνον, τῦ μεγίσυ συ κράτυς.
Ὅπως τέλειος, νυκτερεύσας ἐρθρίσας.
Τὸ Φῶς ἴδοιμι, ἐν τολῶν συ πρωΐθεν.

Εὐχαὶ λεγόμεναι μετὰ τὸ ἐξεγερθῆναι τῦ ὕπνυ. Εὐχὴ Α'.
Εἰς τὴν ἁγίαν Τριάδα Τῦ Θείυ Χρυσοςόμυ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι. Δόξα σοι Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀεὶ παρορῶν τὰς ἁμαρτίας ἡμῶν. δόξα σοι Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας με, ἢ τὴν σήμερον θεάσασθαι. Δόξα σοι παναγία Τριὰς ὁ Θεὸς ἡμῶν. Προσκυνῶ τὴν ἀγαθότητά συ τὴν ἀνεκδιήγητον. ὑμνῶ τὴν μακροθυμίαν συ τὴν ἀνεξιχνίαςον. Εὐχαριςῶ, ἢ δοξολογῶ τὸ ἀμέτρητόν συ ἔλεος· ὅτι μυρίων κολάσεων, καὶ τιμωριῶν ὄντα ἄξιον, ἐλεεῖς, ἢ εὐεργετεῖς με μυρίαις εὐεργεσίαις. Δόξα σοι Κύριε ὁ Θεὸς ἡμῶν πάντων ἕνεκα.

Εὐχὴ Β'. ἐν τῷ αὐτῷ καιρῷ Τῦ ἀββᾶ Ἰσαάκ.

Κύριε ὁ Θεός μυ, ὁ ἐτισκεπτόμενος τὴν κτίσιν συ. ᾧ τινι δῆλα τὰ πάθη μυ. ἢ ἡ ἀσθένεια τῆς Φύσεως ἡμῶν. ἢ ἡ ἰσχὺς τῦ ἀντιπάλυ ἡμῶν. Σὺ αὐτὸς σκέπασόν με ἐκ τῆς κακίας αὐτῦ. δι' ὅτι ἡ δύναμις αὐτῦ κραταιὰ. ἢ ἡ Φύσις ἡμῶν ταλαίπωρος, ἢ ἡ δύναμις ἡμῶν ἀσθενής. Σὺ ἔν ἀγαθὲ, ὁ ἐπισάμενος τὴν ἀσθένειαν ἡμῶν· ὁ ἢ βασάζων τὴν δυσκολίαν τῆς ἀδυναμίας ἡμῶν· Φύλαξόν με ἐκ τῆς ταραχῆς τῶν λογισμῶν, ἢ τῦ κατακλυσμῦ τῶν παθῶν. ἢ ἄξιον ποίησόν με ταύτης τῆς λειτυργίας τῆς ἁγίας· μήπως ἐν τοῖς πάθεσί μυ Φθείρω τὴν γλυκύτητα αὐτῆς, ἢ εὑρεθῶ ἐνώπιόν συ ἀναιδὴς καὶ τολμηρός.

Εὐχὴ

Εὐχὴ Γ'. ἐν τῷ αὐτῷ καιρῷ Κυρίλλε Κωνσταντινοπόλεως τῦ Γέροντος πάνυ ὡραία.

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. ἔλεγεν ὁ προφήτης Δαβίδ. Καὶ· εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, Ψαλμ. ξϛ'. 7. ἐν τοῖς ὄρθροις ἐμελετων εἰς σέ. ὅτι ἐγενήθης βοηθός μου. Κἀγὼ δὲ ὁ ἁμαρτωλὸς, ἡ ἀνάξιος, μετὰ τῦ Προφήτου, ἡ βασιλως ὀρθρίζω πρὸς σὲ Κύριε ὁ Θεός μου. αὔτη μοι τῦ ὕπνου ἐξεγειρομένῳ ὑπόθεσις, ἡ πρῶτος τῆς διανοίας λογισμός· ἐπεὶ ἡ χρέος μοι ἀπαραίτητον. τῦτο ἀποβλέπει γὰρ εἰς αὐτὸ τὸ τέλος, δι' ὃ με ἔπλασαν αἱ χεῖρές σου. ἵνα δηλονότι ὑμνῶ, δοξάζω, ἡ μεγαλύνω τὸ πανάγιόν σου ὄνομα. Σὺ γὰρ εἶ Κύριε, ἀρχὴ ἄνευ ἀρχῆς, ἡ τέλος ἄνευ τέλους. Καθάπερ γὰρ ἄνευ σοῦ, οὐδεὶς ἠδύνατο κτισαι τὰ πάντα, ὕτως οὐδ' αὐτὰ ὑπ' ἀλλήλων δημιυργηθῆναι ἐκ ἦν· ἀλλ' ὑπὸ μόνης τῆς σῆς χάριτος, ἡ δυνάμεως· ὅπως σοὶ τὰ πάντα δουλεύῃ, παρ' οὗ ἡ γέγονε, ἡ ἀνυμνῇ, ἡ δοξολογῇ, ἡ κηρύττῃ, τὸ μέγεθος τῆς ἀΦάτου σου δόξης. Σὺ ὢν ὑπάρχεις Κύριε ὁ Θεός μου, ὁ Κτίσης, ἡ Δημιυργὸς τῶν ἁπάντων. Σὺ εἶ ὁ δοτὴρ πάντων τῶν ἀγαθῶν. ἢ, τί ἐν τῇ Φύσει; ἢ, τί ἐν τῇ χάριτι; ἢ, τί ἐν τῷ σώματι; ἢ, τί ἐν τῇ ψυχῇ; ὅπερ οὐκ ἐκ τῆς σῆς παρήχθη χρηστότητος;

Σὺ γὰρ εἶ πηγὴ τῶν τελειοτήτων. πέλαγος τῶν μεγαλειοτήτων. ἄβυσσος ἐλέους. ἡ θάλασσα οἰκτιρμῶν. Σὺ εἶ ἀμιχανε κάλλους εἶδος, ἐξ οὗ πάντα τὰ ὄντα ἀρύονται. Σὺ εἶ Θεὸς τῶν Θεῶν. ἅγιος τῶν ἁγίων. βασιλεὺς τῶν βασιλευόντων ἡ Κύριος τῶν Κυριευόντων. Σὺ εἶ αἰτία τῶν αἰτιῶν, ζωὴ τῶν ζώντων, τάξις, εὐπρέπεια ἡ δόξα πάντων, ὁρωμένων τε ἡ ἀοράτων. Σὺ εἶ ὁ Ποιητὴς, ἡ Πλάστης μου, ὁ ἐκ τοῦ μὴ ὄντος πλασας, ἡ μορφώσας με κατ' εἰκόνα σὴν ἡ ὁμοίωσιν. Σὺ εἶ ὁ τῆς ἐμῆς ψυχῆς Φύλαξ. ὁ τῇ ἀῤῥήτῳ σου προνοίᾳ διατηρῶν με ἵνα μὴ πάλιν εἰς τὸ μὴ ὂν ἐπανέλθω. Σὺ εἶ ὁ ἁγιάζων, ἡ ἀνυψῶν με διὰ τῆς σῆς χάριτος, ἡ δοξάσαι με θέλων, ἡ μακαρίσαι, τῆς αἰωνίου σου ζωῆς ἀπολαύοντα. Ἀλλὰ ἡ πρὸς τύτοις, σὺ εἶ βο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶ βοηθός μου, ἡ συνήγορος, ἡ εὐεργέτης. βασιλεύς μου, ἡ Κύριός μου Πατήρ μου, ἡ νυμφίος μου. Σὺ εἶ τοκεὺς τῆς ἐμῆς ψυχῆς, ἡ ἔλεος ἔσχατον τῆς ἐμῆς εὐδαιμονίας, ἡ ἡ ἀποκατάστασις τῆς ἐμῆς μακαριότητος ἡ τῆς ἐμῆς ζωῆς ὁ καταρτισμός.

Ταῦτα πάντα, ἡ πᾶν ὅ, τι ἄλλο εὐτυχὲς, ἡ γλυκὺ, ἡ τίμιον, ἡ σωτήριον, ὑπαρχεις μοι καθ ὁ Θεός μου, ἡ Κύριός μου, ἡ Ποιητής μου, ἡ Θεὸς ἡ ἄνθρωπος· ὅτι ἡ δι' ἐμὲ εὐδόκησας ἀνανθρωπῆσαι. Σὺ εἶ ὁ λυτρωτής μου, ὁ ἐλευθερωτής μου. Σὺ εἶ ἡ ἐμὴ σωτηρία. ἡ ἐμὴ σοφία. ἡ ἐμὴ δικαιοσύνη. ὁ ἐμὸς ἁγιασμός. ἡ ἐμὴ λύτρωσις. ἡ ἐμὴ κάθαρσις. ἡ ἐμὴ θυσία. ὁ ἐμὸς ἀμνός. ὁ ἐμὸς ἀρχιερεύς. ὁ ἐμὸς Παράκλητος. ὁ ἐμὸς Μεσίτης. ὁ ἐμὸς Διδάσκαλος. ὁ ἐμὸς Ποιμήν τὸ ἐμὸν παράδειγμα. ὁ ἐμὸς ὑπογραμμός. ἡ ἐμὴ παραμυθία. τὸ ἐμὸν ἀγαλλίαμα. ἡ αἰώνιος εὐφροσύνη. Σὺ εἶ ὁ ἰατρὸς τῶν ἐμῶν κακῶν. ὁ θεραπευτὴς τῶν ἐμῶν παθῶν. ὁ ἐξολοθρευτὴς τῶν ἐμῶν ἁμαρτιῶν. Ὅσάκις γὰρ προσέλθωσοι· ὁσάκις τὴν θλῖψιν τῆς ἐμῆς ἀναγγέλωσοι καρδίας ὁσάκις θερμὸν ἀποσαλπάζει δάκρυον τῶν ἐμῶν ὀφθαλμῶν· ἀνοίγεις τοσάκις μοι, Κύριε Ἰησοῦ Χριστέ μου, τὰς ἁγίας ἀγκάλας σου, ἡ χεῖρά μοι βοηθείας ὀρέγεις. ἡ ἀπροσδοκήτως με ἐπικυρίας ἀξιοῖς τὸν ἀνάξιον.

Σὺ Κύριε ὁ Θεός μου, τῇ ἄκρᾳ σου ταπεινώσει, τὴν ἐμὴν ἔπαρσιν θεραπεύεις. τῇ σῇ πτωχείᾳ, τὴν ἐμὴν ἄπληστον ἀποσπᾷς φιλοχρηματίαν. τὴν φλόγα τῶν ἐμῶν κακῶν, κατασβαννύεις ταῖς θλίψεσιν, ἃς δι' ἐμὲ ὑπέσυς. τὸν ἄγριόν μου θυμὸν, τῇ σῇ ἀφάτῳ πραότητι τιθασσεύεις. τὸν φθόνον ὃν διηνεκῶς ἐν τῇ καρδίᾳ κρύπτω κατὰ τοῦ πλησίον, τῇ σῇ ἐμφύτῳ ἀγάπῃ, ᾗ με ἠγάπησας, ἀπομαραίνεις. τὴν ἐμὴν γαστριμαργίαν, ἡ λαγνείαν τὴν σατανικὴν, τῇ χολῇ ἡ τῷ ὄξει, ὧν περ ἐγεύσω δι' ἐμὲ, καταργεῖς. τὸν ὀλέθριον ἀκηδίαν, ἡ ὀκνηρίαν ἀφαιρεῖς ἀπ' ἐμοῦ, τοῖς πόνοις, οἷς ὑπέμεινας δι' ἐμέ· ὅτι ἡ δι' ἐμὲ ἐνήστευσας, περιεπάτησας, ἐκοπίασας, ἵδρωσας, ἠγρύπνησας, προσηύξω ἐδάκρυσας, ἐδιώχθης, ὑβρίσθης, ἐνεπαίχθης, ἐνεπτύσθης, ἐμαστίχθης, σέφανον ἐξ ἀκανθῶν ἐφόρεσας, σαυρὸν ὑπέμεινας ἡ τέλος, θάνατον ἐκούσιον κατεδέξω, ταφὴν τριήμερον, ἡ τὴν εἰς ᾅδου κάθοδον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεόδον. ἅπερ πάντα, Κύριε ὁ Θεός μου, ὑπεξῆς δι' ἐμέ. ἢ πάντα ὡς εὐεργεσίας εἰς ἐμὲ τὸν ἀνάξιον ἢ ἔχω, ἢ λογίζομαι, ἢ μετρῶ, ἢ ἀποδέχομαι, ἢ Φθέγγομαι, καὶ ὁμολογῶ, καὶ κηρύττω.

Διὰ ταῦτα τοίνυν ἐγὼ, τῇ σῇ χάριτι, γλυκύτατε Δέσποτα, καὶ Κύριε Ἰησοῦ Χριστὲ ἢ Θεέ μου, ὀφειλέτης, ἢ χρεώστης ὢν, ἀπορῶ τί σοι ἀνταποδώσω περὶ πάντων τούτων! ἀγνοῶ, πῶς εὐχαριστήσω σοι, τοσαύτην εἰς ἐμὲ δείξαντι Φιλανθρωπίαν, ἢ εὐσπλαγχνίαν! δι' ἣν, εἴπερ ἐγὼ τὰς ἁπάντων εἶχον καρδίας, ἢ γλώσσας, ἢ πάσαις ὁμοῦ βουληθείην εὐχαριστεῖν σοι, ἢ ἀγαπᾶν, σὲ τὸν ὕτως ἀγαπήσαντά με· οὐδ' ὕτως ἱκανῶς ἔδοξα ἂν, κἂν δι' ὀλίγου τοσοῦτον χρέος ἐκτίσαι. Τί οὖν ποιήσω ὁ ἀνάξιος; ἢ τί εἴπω; οὐδὲν ἕτερον δύναμαι, Φιλάνθρωπε Κύριε, εἰ μὴ μόνον χάριτάς σοι ὁμολογεῖν, ἢ κηρύττειν σου τὴν ἀνείκαστον ἀγαθότητα, ἢ τὸ πρὸς ἐμέ σου ἄφατον ἔλεος. Οὐκ ὀκνήσω δὲ, Κύριε ἢ Θεέ μου, ἢ συμμαχίαν πρὸς τοῦτο παρ' ἑτέρων λαβεῖν, ἢ πᾶσαν τὴν κτίσιν προσκαλέσασθαι, τὸν οὐρανὸν, ἢ τὴν γῆν, ἢ πάντα τὰ ὁρατὰ, ἢ ἀόρατα ἔργα τῶν χειρῶν σου· ὅπως μοι ἔκαστον συνεπικυρήσῃ, εἰς τὸ ὑμνῆσαι, ἢ εὐλογῆσαί σε, ἢ ᾄσαί σοι τὸν ὕμνον, ὃν οἱ εὐσεβέστατοι τρεῖς σου Παῖδες, ὢν τῇ καμίνῳ τοῦ πυρὸς ἔψαλλον λέγοντες. » Εὐλογεῖτε » πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, ἢ ὑπερυψοῦτε εἰς πάντας τοὺς » αἰῶνας. Πάσης οὖν εὐχαριστίας, ἢ εὐλογίας ἐγώ σοι χρεώστης ὑπάρχων, Κύριε ὁ Θεός μου, ἀδιαλείπτως αἰνέσω, ἢ δοξολογήσω σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Σὺ γὰρ εἶ ὁ πλάσας με. σὺ ὁ τῷ τιμίῳ σου αἵματι ἐξαγοράσας με. Σὺ ὁ συντηρῶν με τῇ χάριτί σου ἐν παντὶ καιρῷ, ἢ τόπῳ· ἢ ἐν πάσῃ ὥρᾳ, ἢ σιγμῇ τήν τε ψυχήν, ἢ ζωὴν τὴν ἐμὴν ἐπισκεπτόμενος, ἢ Φυλάττων. δι' ὃ περ ὅλος σοὶ γίνομαι. ἢ ὅλως, σοῦ ἄνευ ἐμαυτὸν κινῆσαι, ἢ ἄλλο τι ποιῆσαι ἀδυνατῶ εἰ μὴ σὺ εὐδοκήσῃς. ὅπερ ἐμαυτῷ συνειδὼς ὁ ταπεινὸς, καὶ ἀνάξιος, ἀπὸ τοῦ νῦν, καὶ ἀπὸ τῆς ὥρας ταύτης, Κύριε ὁ Θεός μου, ἀφοσιοῦμαί σοι· καὶ ἀάνναον δοῦλον ἐμαυτὸν τῇ σῇ μεγαλειότητι ἀποκαθιστῶ· ἢ προσφέρω σοι ἀπὸ τοῦ νῦν πάντά μου λογισμὸν ἀγαθόν. πᾶν ῥῆμα. πᾶν ἔργον, ὅ, τι ἂν ἐργάσωμαι, εἰς δόξαν τῆς σῆς μεγαλοπρεπείας. ὑπὲρ πάντα δὲ, ἐμαυτόν σοι προσφέρω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σφέρω· ἵνα μηκέτι ἐμαυτῦ ὦ, ἀλλὰ σῦ τῦ Δημιουργῦ, πλάσαντί με, καὶ Ποιητῦ μου· καὶ ὅπως ζῶ, οὐχ' ὡς ἐγὼ θέλω, ἀλλ' ὡς εὐάρεστόν ἐστιν ἐνώπιόν σου. ὁ δὲ βίος μου ἅπας, ὅπως γυμνάζηται εἰς ἐργασίαν τῶν ἐντολῶν σου· καὶ τούτων ὁσάκις ἐκκλίνω, πράξας ἄθεσμα, γνώσωμαι, ὅτι παραβάτης εἰμι, καὶ λήξης, ὡς ἁρπάσας τὴν Σοὶ τῷ ἀγαθῷ Δεσπότῃ μου, καὶ Φιλανθρώπῳ δικαίως ὀφειλομένην ὑπακοήν. Ὅπερ μὴ γένοιτο! μηδὲ παραχωρήσῃ μοι τοῦτο ἡ δικαιοσύνη σου· ὅτι ἀσθενής εἰμι, καὶ οἶδα ὅτι οὐκ ἰσχύω, οὐδὲ ἱκανὸς ὑπάρχω ὁ ἄθλιος, καὶ ταλαίπωρος, ἀπ' ἐμαυτῦ εἰς ἔργον ἀγαγεῖν ταύτην μοι τὴν ἐπαγγελίαν.

Διὰ τοῦτο δέομαί σου Κύριε ὁ Θεός μου, γλυκύτατε Ἰησοῦ Χριστέ μου, βοηθός μου γενοῦ. κέφισον τῇ παντοδυνάμῳ σου χειρὶ τὴν ἀσθενειάν μου. καὶ κτίσον ἐν ἐμοὶ καρδίαν καθαρὰν, καὶ ταύτην δυνάμωσον· ὅπως διαμείνω ὁ ἀνάξιος τὸν χρόνον ἅπαντα τῆς ζωῆς μου, ἔχων ἀσφαλῆ τὸν τοιοῦτον λογισμὸν, καὶ τὴν θέλησιν ἀμετάτρεπτον εἰς τὸ μηδόλως παραβῆναι τελοιπῦ τὸ σὸν θέλημα, καὶ τὴν γινομένην μοι πρὸ τῆς σῆς ἀοράτου δόξης ἐν τῇ ὥρᾳ ταύτῃ, ὑπόσχεσιν. Πρὸς τούτοις χάρισαί μοι ἐν τῇ ἡμέρᾳ ταύτῃ νοῦν, καὶ σύνεσιν, καὶ μνήμην· ἵνα πάντοτε μελετῶ, καὶ φυλάττω τὰ σὰ προσάγματα, μὴ ἐπιλανθανόμενος σοῦ τοῦ Θεοῦ μου καὶ εὐεργέτου. Τολμῶ δὲ καὶ ταῦτα παρὰ τῆς πλουσίας σου, καὶ φιλανθρώπου γνώμης (1) αἰτήσασθαι· χαλινὸν γλώττης. φυλακὴν στόματος. ὀφθαλμῶν παιδαγωγίαν. νέκρωσιν σαρκός. ὀρέξεων πασῶν τῶν σαρκικῶν συσολήν. καὶ καθαίρεσιν τῆς ἐν τοῖς μέλεσί μου ἀταξίας.

Ταῦτα αἰτοῦμαί σε, Κύριε ὁ Θεός μου Ἰησοῦ Χριστέ μου, καὶ δέομαί σου προσπίπτων· δέομαι ἐγὼ ἅπαξ, ἀλλὰ μυριάκις· μή με τῆς χάριτος ταύτης ἀπαξιώσῃς. Σὺν τούτοις δὲ, δώρησαί μοι βαθεῖαν ταπείνωσιν, συντριβὴν, καὶ κατάνυξιν, ὑπομονὴν, καὶ πραότητα, ὑ-

παχο-

(1) Γνώμη ἐνταῦθα ἐκλαμβάνεται, ἡ ἁπλῶς ῥοπὴ ἐπὶ τὸ θελητὸν, κατὰ τὸν Βλεμμίδην. καθ' ὃ σημαινόμενον, φαμὲν διαπεπράχθαί τι κατὰ γνώμην Θεοῦ. ἢ ἐχὶ ἡ ἐκ προβουλεύσεως, καὶ κρίσεως περί τι διάθεσις. ἢ ὅρα τὸν περὶ πίστεως λόγον τοῦ Βλεμμίδου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παχοὴν, ἡ πτωχείαν πνεύματος. ζῆλον ὑπὲρ τῆς δόξης τῦ σῦ ὀνόματος, ἀγάπην, ἡ μακροθυμίαν πρὸς τὸν πλησίον, ἡ τὴν προσήκουσαν πρὸς ἐκεῖνον συμπάθειαν. ἵνα διὰ τύτων δοξάζηται ἐν ἐμοὶ τὸ παναγιόν σε ὄνομα· σὺν τῷ ἀνάρχῳ σε Πατρὶ, ἡ τῷ παναγίῳ, καὶ ἀγαθῷ, ἡ ζωοποιῷ σε Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ λεγομένη μετὰ τὴν ἀπόλυσιν τῆς ἀκολυθίας, διὰ τὰς ἐν τῷ μεταξὺ τῆς δοξολογίας συμβαινύσας παρατροπὰς τῦ νοός.

Ιλάνθρωπε, ἡ ἐλεῆμον Κύριε, ὁ ἀξιώσας με ἡ κατὰ τὴν παρῦσαν ὥραν σῆναι ἐνώπιόν σε, εἰς προσευχὴν, ἡ δοξολογίαν τῦ κράτυς σε· Συγχώρησόν μοι ὅσα ἀπὸ παιδικῆς ἡλικίας ἐν πάσαις μυ ταῖς αἰσθήσεσιν ἥμαρτόν σοι, πανοικτίρμον ἡ πολυεύσπλαγχνε. Συγχώρησόν δέ μοι ἡ εἴ ἀρτίως ἐπιγεγονότα μοι πταίσματα ἐν τῷ τῆς προσευχῆς ταύτης καιρῷ, διὰ μετεωρισμῦ, ἡ πλάνης, ἡ ῥεμβασμῦ. διὰ λογισμῶν ὑψηλοφροσύνης, ἡ κενοδοξίας. διὰ θυμῦ, ὀργῆς, ἡ μνησικακίας. διὰ τῆς ἀναιδῦς, ἡ μιαρᾶς βλασφημίας. δι' ὀλιγωρίας, ἡ ὄκνυ, ἡ ῥαθυμίας. δι' αἰχμαλωσίας, ἡ ἀπαγωγῆς τῦ νοὸς, ἡ τῆς διανοίας, εἰς ἀτοπίας, ἡ πονηρᾶς ἐπιθυμίας. ἵνα μὴ καυχήσηται Σατὰν ὁ ἐχθρὸς κατ' ἐμῦ· ὅτι ὐδὲ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἐξομολογήσεως, ἡ προσευχῆς μυ, ἀναμάρτητος διετηρήθην. δεῖξον ἓν ὑπεράγαθε Κύριε, ὅτι σὺ εἶ ὁ ἐξυσιάζων τῦ σῦ πλάσματος. καὶ Σῦ ἐστι τὸ κράτος, καὶ ἡ βασιλεία εἰς τὺς ἀπεράντυς αἰῶνας. Ἀμήν.

Εὐχὴ λεγομένη πρὸ τῆς ἀναγνώσεως.

Κύριε Ἰησῦ Χριστὲ, διάνοιξον τὰ ὦτα, ἡ τὺς ὀφθαλμὺς τῆς καρδίας μυ, τῦ ἀκῦσαί με τὰ λόγιά σε ἡ συνιέναι, ἡ ποιῆσαι τὸ θέλημά σε. Ὅτι πάροικός εἰμι ἐν τῇ γῇ. μὴ ἀ-

μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου· ἀλλὰ ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. ἐπὶ σοὶ γὰρ ἐλπίζω ὁ Θεός μου· ἵνα σύμμου φωτίσῃς τὴν διάνοιαν. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχαὶ κατὰ τὸ μέτρον τῶν εἰκοσιτεσσάρων ὡρῶν τῆς νυχθημέρου, ἐπιγραφομεναι Ἰωάννῃ τῷ Χρυσοστόμῳ.

ά. ΚΥ'ριε μὴ ξερήσῃς με τῶν ἐπουρανίων σου, καὶ αἰωνίων ἀγαθῶν.

β'. Κύριε, λύτρωσαί με τῶν αἰωνίων κολάσεων.

γ'. Κύριε, εἴτε λόγῳ, εἴτε ἔργῳ, εἴτε κατὰ νοῦν, καὶ διάνοιαν ἥμαρτον, συγχώρησόν μοι.

δ'. Κύριε, λύτρωσαί με ἀπὸ πάσης ἀνάγκης, καὶ ἀγνοίας, καὶ λήθης, καὶ ῥαθυμίας καὶ τῆς λιθώδους ἀναισθησίας.

έ. Κύριε, λύτρωσαί με ἀπὸ παντὸς πειρασμοῦ, καὶ ἐγκαταλείψεως.

ς'. Κύριε, φώτισον τὴν καρδίαν μου, ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία.

ζ'. Κύριε ἐγὼ μὲν ὡς ἄνθρωπος ἥμαρτάνω· σὺ δὲ ὡς Θεὸς, ἐλέησόν με.

ή. Κύριε, ἴδε τὴν ἀσθένειαν τῆς ψυχῆς μου, καὶ πέμψον τὴν χάριν σου εἰς βοήθειάν μου· ἵνα ἐν ἐμοὶ δοξασθῇ τὸ ὄνομά σου τὸ ἅγιον.

θ'. Κύριε Ἰησοῦ Χριστὲ, ἔγγραψον τὸ ὄνομα τοῦ δούλου σου ἐν βίβλῳ ζωῆς χαριζόμενός μοι καὶ τέλος ἀγαθόν.

ί. Κύριε ὁ Θεός μου, οὐκ ἐποίησα οὐδὲν ἀγαθόν· ἀλλ' ἀρξαίμην ποτὲ τῇ εὐσπλαγχνίᾳ σου.

ιά. Κύριε, βρέξον εἰς τὴν καρδίαν μου τὴν δρόσον τῆς χάριτός σου.

ιβ'. Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ τῆς γῆς, μνήσθητί μου τοῦ ἁμαρτωλοῦ, τοῦ αἰσχροῦ, τοῦ πονηροῦ, καὶ βεβήλου κατὰ τὸ μέγα ἔλεός σου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

ιγ'. Κύριε, ἐν μετανοίᾳ με παράλαβε, καὶ μὴ ἐγκαταλίπῃς με.

ιδ'. Κύριε, μὴ εἰσενέγκῃς με εἰς πειρασμόν.

ιέ. Κύριε, δός μοι ἔννοιαν ἀγαθήν.

ις'. Κύριε, δός μοι δάκρυον, καὶ μνήμην θανάτου, καὶ κατάνυξιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιζ'. Κύριε, δός μοι τῶν λογισμῶν μου ἐξαγόρευσιν.
ιή. Κύριε, δος μοι ταπείνωσιν, ἐκκοπὴν θελήματος, ἡ ὑπακοήν.
ιθ'. Κύριε, δός μοι ὑπομονὴν μακροθυμίαν, ἡ πραότητα.
κ'. Κύριε, ἐμφύτευσον ἐν ἐμοὶ τὴν ῥίζαν τῶν ἀγαθῶν, τὸν φόβον σου.
κά. Κύριε, ἀξίωσόν με ἀγαπᾶν σε ἐξ ὅλης μου τῆς ψυχῆς, ἡ τῆς διανοίας, ἡ τῆς καρδίας, ἡ τηρεῖν ἐν πᾶσι τὸ θέλημά σου.
κβ'. Κύριε, σκέπασόν με ἀπό τε ἀνθρώπων πονηρῶν, ἡ Δαιμόνων, ἡ παθῶν, ἡ ἀπὸ παντὸς μὴ προσήκοντος πράγματος.
κγ'. Κύριε, ὡς κελεύεις. Κύριε, ὡς γινώσκεις. Κύριε, ὡς βέλει, γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί.
κδ'. Κύριε, τὸ σὸν θέλημα γενέσθω, καὶ μὴ τὸ ἐμόν· Πρεσβείαις, ἡ ἱκεσίαις τῆς Παναγίας Θεοτόκου, ἡ πάντων τῶν ἁγίων σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐχὴ κοινὴ εἰς τὸν Κύριον, ἡ εἰς πάντας τοὺς ἁγίους ἐξομολογητική.

Κύριέ μου Κύριε, γλυκύτατέμου Ἰησοῦ Χριστέ· ὁ Θεὸς τῶν οἰκτιρμῶν, ἡ τῆς ἐλέους ἄβυσσος, ὁ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων· ἐμὲ μετανοοῦντα ἀρτίως, ἡ πίστει προσερχόμενον ὑπόδεξαι, ἡ ἐλέησόν με τὸν ἁμαρτωλὸν τὸν ἄσωτον τὸν παμβέβηλον, τὸν πανάθλιον, τὸν βλάσφημον, τὸν ἐπίορκον, τὸν ψεύστην, τὸν λοίδορον τὸν ὑβριστὴν, τὸν κατάλαλον τὸν ὀργίλον τὸν μνησίκακον, τὸν φθονερὸν, τὸν σκανδαλοποιὸν τὸν ἄσπλαγχνον, τὸν ἀνελεήμονα, τὸν φιλοκτήμονα, τὸν φιλόδοξον, τὸν φιλήδονον, τὸν γαστρίμαργον, τὸν μισοῦντα, τὸν ῥάθυμον, τὸν γελωτοποιὸν, τὸν μετεωριστὴν, τὸν κενόδοξον, τὸν ὑπερήφανον τὸν καταφρονητὴν τῶν θείων σου ἐντολῶν. Καὶ μὴ διὰ τὸ πλῆθος τῶν τοσούτων μου ἐγκλημάτων, τῷ πλήθει ὑποβάλῃς με τῶν κολάσεων.

Ἀλλὰ σὺ Κύριε Ἰησοῦ ὁ Θεός μου, ὁ μακρόθυμος, ἡ οἰκτίρμων, οἰκτείρησον τὴν ἐμὴν καρδίαν, τὴν συντετριμμένην τοῖς ἁμαρτίαις, ἡ κατακεκριμένην ὑπὸ τῆς συνειδότος· διὰ τὸ μὴ φυλάξαι τὰς ἱερὰς συνθή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συνθήκας τῦ ἁγίυ βαπτίσματος ϗ τῦ θείυ, ϗ ἀγγελικῦ σχήματος τῶν μοναχῶν. Καὶ νῦν διὰ τὰς διττὰς ταύτας ὑποσχέσεις ξενάζω, ϗ ἀδυρομαὶ, ἐλεηθῆναι δωρεὰν, ϗ μόνῃ τῇ σῇ χρηστότητι συγχωρηθῆναι δέομαι, ϗ τῶν κολάσεων ἐλευθερωθῆναι ἐν τῇ Φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως. Ναὶ Κύριέ μυ Κύριε γλυκύτατέ μυ Ἰησῦ, σῶσόν με ἀπεγνωσμένον, ϗ μὴ καταισχύνῃς με ἀπὸ τῆς ἐλπίδος, ϗ προσδοκίας μυ. Οἰκτείρησόν με τὸν τὰς οἰκτιρμούς συ ἐπικαλούμενον. καθαρισόν με τὸν ἐσπιλωμένον. λεύκανον τὸν ῥυπωθέντα μυ χιτῶνα, ϗ διάσωσόν με τὸν ἄσωτον. μὴ κατακρίνῃς με τὸν κατακεκριμένον. μὴ παραδῷς τοῖς νοητοῖς θηρίοις ψυχὴν ἐπικαλουμένην σε. μὴ τῇ Φλογὶ τῆς γεέννης καταδίκασῃς με, διὰ τὴν παράβασιν τῶν ὑποσχέσεων ϗ ἱερῶν συνθηκῶν τῦ ἁγίυ βαπτίσματος. ϗ τῦ ἀγγελικῦ σχήματος.

Κύριέ μυ Κύριε γλυκύτατέ μυ Ἰησῦ. ὁ μακροθυμος, ϗ ἀνεξίκακος, ϗ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασί συ. ὁ ὁδηγήσας με πρὸς τὴν ἀγγελικὴν διαγωγήν· καταξίωσόν με ἀπὸ τῆς σήμερον εἰλικρινῶς σοι λατρεῦσαι ἐν ἀγαθοῖς ἔργοις, πρὸς τὸ ποιῆσαί τινα καρπὸν τῆς μετανοίας ἐπάξιον, ϗ διατηρῆσαι ὁσίως τὸ τῆς μοναδικῆς πολιτείας ἔπάγγελμα, ϗ ἐκπληρῶσαι τὰς ἱερὰς συνθήκας. ἀμώμυς, ϗ ὁλοκλήρυς. Κύριέ μυ Κύριε, γλυκύτατέ μυ Ἰησῦ, Παντοκράτορ, μεγαλοδύναμε, κραταιὲ· ἐμφύτευσον τῇ καρδίᾳ μυ τὸν Φόβον συ, ϗ τὴν ἀγάπην τῶν νόμων συ. τὸν νοῦν μυ καταύγασον ταῖς ἀκτῖσι τῶν χαρισμάτων συ, τὰς αἰσθήσεις μυ τῷ λόγῳ συ ὑποταξον. τὴν θέλησίν μυ πρὸς σὲ τὸ μόνον ἀληθινὸν ἐφετὸν ἐπίστρεψον. τὴν γλῶσσάν μυ παιδαγώγησον· ἵνα λέγῃ καθ ἑκάστην· Κύριε Ἰησῦ Χριστὲ Υἱὲ τῦ Θεῦ, διὰ τῆς μακαρίας ἀειπαρθένυ Θεοτόκυ, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ϗ σῶσόν με. Κύριε, διὰ τὲ τιμίυ συ, ϗ ζωοποιῦ σαυρῦ, Φύλαξόν με. Κύριε, διὰ τῶν ἁγίων συ Ἀγγέλων, τείχισόν με. Κύριε, διὰ τῶν ἁγίων συ Ἀποστόλων, ϗ Μαρτύρων, ὅπλισόν με. Κύριε, διὰ τῶν ἁγίων συ Πάντων, κατάπεμψον ἐπ ἐμὲ τὸ μέγα συ ἔλεος. ϗ δωρεὰν σῶσόν με τὸν ἀνηκτὸν τῷ ὑπερτίμῳ συ αἵματι.

Τὰς πολυχρονίυς τῶν ἁμαρτιῶν μυ χιλίδας ἐξάλειψον. τὰ τῆς λαγνείας, ϗ πονηρίας Πνεύματα ἀπ ἐμῦ ἀπόδιωξον. τῶν τε παρόντος αἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τος αἰῶνος προσπαθειῶν με ἀπάλλαξον. ὅλον με πρὸς τὴν ἀγάπην τῆς ἀϊδιότητος ἕλκυσον. καὶ τὴν σεμνὴν καὶ τεθλιμμένην ὁδὸν εὐθύνειν ἐνίσχυσον, μέχρι τῆς ἐσχάτης μου ἡμέρας καὶ ὥρας, καὶ ἀναπνοῆς· ὅπως Ἀγγέλοις ἀγαθοῖς τὴν ψυχήν μου ἀναθῶ, καὶ τῶν τελωνίων τὸ ἀέρος ἐλευθερωθῶ, καὶ τοῖς ἀπ' αἰῶνος ἁγίοις συναριθμηθῶ, καὶ τῶν αἰωνίων ἀγαθῶν καταξιωθῶ.

Εὐσπλαγχνικωτάτη τοῦ γλυκυτάτου μου Ἰησοῦ Μήτηρ· πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου, καὶ ἁμαρτωλοῦ· ἵ.α εἰσακούσῃ μου τῆς πενιχρᾶς δεήσεως ὁ Υἱὸς καὶ Θεός σου. Σταυρὲ πανσεβάσμιε, τὸ ὅπλον τῆς σωτηρίας ἡμῶν. τῆς ἡμετέρας σωτηρίας τὸ σύμβολον· ἀποδίωξον ἀπ' ἐμοῦ πᾶντα πονηρὸν λογισμόν. καὶ πᾶσαν ἐπιβουλὴν τῆς τοῦ ἀντικειμένου δυνάμεως, διὰ Δαιμόνων, καὶ ἀνθρώπων ἐνεργουμένην. Παμμέγιστοι Ταξιάρχαι, Μιχαὴλ, καὶ Γαβριὴλ, ἐγγυηταί μου, καὶ ῥῦσαι. Ἅγιε Ἄγγελε, Φρούρέ μου, καὶ Φύλαξ· καὶ πάντες ἅγιοι Ἄγγελοι τοῦ Θεοῦ, ὁδηγεῖτέ με εἰς τὸ πανάγιον τοῦ Θεοῦ θέλημα. ἀντιλαμβάνεσθέ μου τῆς ἀσθενείας, ἣν καὶ σώματι, καὶ γνώμῃ περίκειμαι. Φυλάττετε με ἐκ τῶν ἐπιβουλῶν τοῦ ἐχθροῦ, καὶ πρεσβεύσατε τῷ ἐλεήμονι Δημιουργῷ· ἵνα ἐλεήσῃ με τῶν παραβάτην τῶν ἁγίων αὐτοῦ ἐντολῶν. καὶ ἐν εἰρήνῃ ψυχῆς, καὶ μετανοίᾳ ἀληθινῇ δώῃ μοι πολιτεύεσθαι μέχρι τοῦ τῆς ζωῆς μου τέλους. Καὶ ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς μου ἀπὸ τοῦ σώματος, παράστητέ μοι ἐγγύθεν παρήγοροι, περιθάλποντες, περιφρουροῦντες, καὶ πληροφορῆντές μοι τὴν ἀπαλλαγὴν τῶν ὑπὸ γῆν κολασηρίων, διὰ μόνην τὴν τοῦ Θεοῦ ἐλεημοσύνην.

Ἅγιε ἔνδοξε Ἰωάννη, Πρόδρομε, καὶ Βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι ἔνδοξοι, Θεοκήρυκες, καὶ πρωτοκορυφαῖοι Ἀπόστολοι, Πέτρε, Παῦλε, Ἰωάννη Θεολόγε, σὺν τοῖς λοιποῖς Εὐαγγελισταῖς, καὶ Ἀποστόλοις· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι, καὶ Δίκαιοι Θεοπάτορες, Ἰωακεὶμ καὶ Ἄννα Ἰωσὴφ μνήσωρ, καὶ Συμεὼν Θεοδόχε· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Προφῆται, καὶ κήρυκες τῆς παρουσίας Χριστοῦ τοῦ Θεοῦ· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Πατέρες, Ποιμένες καὶ Διδάσκαλοι τῆς οἰκουμένης, Βασίλειε, Γρηγό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γρηγόριε, Ἰωάννη Χρυσόστομε, Ἀθανάσιε, Κύριλλε, Νικόλαε, Σπυρίδων, καὶ πάντες ἅγιοι Ἱεράρχαι· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Ἱερομάρτυρες, Ὁσιομάρτυρες, καὶ Ὁμολογηταί· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Μεγαλομάρτυρες Δημήτριε, Γεώργιε, Θεόδωρε, Ἀρτέμιε, Προκόπιε, οἱ Τεσσαράκοντα, καὶ πάντες ἅγιοι Μάρτυρες· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Ἀνάργυροι, καὶ Θαυματεργοὶ, Κοσμᾶ, καὶ Δαμιανέ. Κῦρε, καὶ Ἰωάννη, Παντελεῆμον, καὶ Ἑρμόλαε, καὶ οἱ λοιποί· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ὅσιοι Θεοφόροι Πατέρες, Ἀντώνιε, Παῦλε Εὐθύμιε, Σάββα, Ἀρσένιε, Ὀνούφριε, Παχώμιε, Θεοδόσιε, Ἐφραὶμ, Ἰωάννη Δαμασκηνὲ, Ἰωάννη τῆς κλίμακος, Πέτρε, Ἀθανάσιε, καὶ πάντες ὅσιοι· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ὁσία Μαρία Αἰγυπτία, καὶ ὅσαι τῶν τιμίων, καὶ ὁσίων Γυναικῶν, αἱ καλῶς ἀσκήσασαι, καὶ ἀθλήσασαι, καὶ τὸν Χριστὸν ὁμολογήσασαι· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Πάντες, οἱ ἀπ' αἰῶνος εὐαρεστήσαντες τῷ Κυρίῳ· πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἀναπολογήτου καὶ ὑπὲρ πάντας τοὺς ἀπ' αἰῶνος ἁμαρτωλοὺς ἁμαρτωλοῦ.

Ὧν τὰς ἱκεσίας, καὶ παρακλήσεις προσδεξάμενος, καὶ εἰσακούσας, Κύριέ μου Κύριε γλυκύτατέ μου Ἰησοῦ· συγχώρησόν μοι εἴτι σοι ἥμαρτον ἀπὸ γεννήσεώς μου, καὶ μέχρι τῆς νῦν ἡμέρας, καὶ ὥρας, ἐν λόγῳ, ἔργῳ, γνώσει, καὶ ἀγνοίᾳ. κατὰ νοῦν, καὶ διάνοιαν· καὶ ἐν πάσαις μου ταῖς αἰσθήσεσιν. Ὡσαύτως συγχώρησον, καὶ ἐλέησον, καὶ τοὺς Πατέρας, καὶ ἀδελφούς μου, καὶ πάντας τοὺς ἁπανταχοῦ ἀρχιερεῖς, Ἱερεῖς, μοναχοὺς, καὶ ὀρθοδόξους χριστιανοὺς, καὶ τοὺς μισοῦντας, καὶ ἀγαπῶντάς με. καὶ τοὺς ἐλεοῦντας, καὶ διακονοῦντάς μοι· καὶ τοὺς ἐντειλαμένους μοι τῷ ἀναξίῳ εὔχεσθαι ὑπὲρ αὐτῶν. Καὶ ὅς ἔβλαψα, ἢ ἐλύπησα, ἢ κατηρασάμην. καὶ τοὺς τὰ αὐτά μοι ποιοῦντας, ἢ ποιήσαντας. Καὶ χάρισαι τὰ συμφέροντα ταις ψυχαῖς ἡμῶν, ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, ὡς εὐδοκεῖ ἡ Φιλανθρωπία σου. Ἀνάπαυσον καὶ τοὺς προαπελθόντας Πατέρας, καὶ ἀδελφοὺς ἡμῶν. Καὶ δι' εὐχῶν πάντων οἰκτείρησόν μου τὴν ἀθλιότητα. καὶ ποίησόν με οἷον θέλεις, καὶ ὡς θέλεις, κἂν θέλω, κἂν μὴ θέλω.

Καὶ κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ καταξίωσόν με ἀνενόχως, ἢ ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων, ἢ ζωοποιῶν σε μυστηρίων, ἢ μὴ εἰς κρίμα, ἢ εἰς κατάκριμα γένοιτό μοι, ἀναξίως τούτοις προσερχομένῳ, ἀλλ' εἰς ἴασιν ψυχῆς ἢ σώματος, εἰς ἀπαλλαγὴν τῶν αἰωνίων κολάσεων, ἢ εἰς ἀρραβῶνα τῆς ἀτελευτήτε, ἢ μακαρίας ζωῆς, ἐν ᾗ σύνταξόν με μετὰ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, Κύριέ με Κύριε γλυκύτατέ με Ἰησοῦ. Ὅτι σοι πρέπει ἡ δόξα, ἡ τιμὴ, ἢ ἡ ἐκ πάντων προσκύνησις, σὺν τῷ ἀνάρχῳ σε Πατρὶ, ἢ τῷ παναγίῳ Πνεύματι, νῦν, ἢ ἀεὶ, ἢ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ τῷ ὁσίῳ Ἰακώβῳ, τῷ μετὰ τὰς ἁμαρτίας πορνείας ἢ Φόνου μετανοήσαντος ἢ ἀποκλεισθέντος ἐν τάφῳ ἢ τὰ γόνατα κλίναντος, ἢ τὸ σῆθος ἀφειδῶς τύπτοντος, ἢ μετὰ κλαυθμοῦ πολλοῦ ταύτην λέγοντος ἐπὶ δεκα χρόνοις.

Ὡς ἀτενίσω πρὸς σὲ ὁ Θεός; ποίαν δὲ ἀρχὴν τῆς ἐξομολογήσεως εὑροιμι; Ποίᾳ καρδίᾳ; ἢ ποίῳ θαρρήσας συνειδότι, γλῶσσαν ἀσεβῆ, ἢ χείλη μολυσμοῦ γέμοντα, κινῆσαι πειράσωμαι; Ποίας δὲ ἁμαρτίας πρῶτον ἄφεσιν αἰτῆσαι κατατολμήσω; Φεῖσαι Φιλάνθρωπε Κύριε! ἵλεως γενοῦ τῷ ἀναξίῳ, Δέσποτα ἀγαθέ! ἢ μὴ συναπολέσῃς με ταῖς αἰσχραῖς μου πράξεσιν. ἔ γὰρ μικρά μου τὰ δυσσεβήματα, πορνείαν ἐτέλεσα. Φόνον εἰργασάμην. αἷμα ἀθῶον ἐξέχεα. καὶ πρὸς τούτοις, τοῖς ὕδασι, ἢ θηρίοις, ἢ πετεινοῖς δέδωκα εἰς βορᾶν. Καὶ νῦν Κύριε, εἰδότι σοι τὰ πάντα ἐξομολογοῦμαι Ἀγαθὲ, τὴν τούτων ἐξωτέρμονος ἄφεσιν. Μὴ παρίδῃς με Δέσποτα· ἀλλὰ κατὰ τὴν σοὶ πρέπουσαν εὐσπλαγχνίαν, οἰκτείρησόν με τὸν ἀσεβῆ. ἢ κατάπεμψον εἰς ἐμὲ τὸ παρὰ σοῦ πλούσιον ἔλεος, ἐλθόντα ἐπὶ τὰ τῆς ἁμαρτίας βαραθρα. κατεπόντισε με γὰρ ἡ τοῦ λυμεῶνος ἐχθρᾶ καταιγίς. μηδὲ καταπίῃ με ὁ δράκων ὁ βύθιος κ. τ. λ.

Εὐχὴ

Εὐχὴ τῦ ἐπὶ Μαυρικίυ τῦ βασιλέως ἀρχιλῃσῦ, ψυχωρέαγέντος ἢ σὺν δάκρυσι πολλοῖς τε ἢ πικροῖς, ἐπὶ πολλὰς ὥρας λέγοντος ταύτην.

Ο Υ' ζητῶ τι πλέον παρὰ σῦ Φιλάνθρωπε· ἀλλ' ὅσα δι' ἐξομολογήσεως ὁ πρὸ ἐμῦ λῃσὴς ἱκέτευε. Καὶ ὡς εἰς ἐκεῖνον τὸν λῃσὴν· ἕτω ἢ εἰς ἐμὲ τὸν λῃσὴν, θαυμάσωσον τὰ ἐλέη τῆς σῆς Φιλανθρωπίας. δέξαι με τῦτον τὸν ἐπιθανάτιον ἐν τῇ κλίνῃ κλαυθμόν. Καὶ ὡς ἐκείνυς τὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐδέξω. μηδὲν ἄξιον ἐργασαμένυς· ἕτω δέξαι κἀμὲ ἐν τοῖς μικροῖς δάκρυσί με βαπτίζων ἢ καθαίρων με ἐν αὐτοῖς. Παράσχε μοι τὴν συγχώρησιν, μὴ ἀπαιτῶν μέ τι πλέον. ὁ γὰρ παρέχει ἡ ὥρα, τῶν ἐκσπηλευτῶν ἐγγισάντων. Ἀλλὰ μὴ ἀντιτείνῃς, μηδὲ ςιβαρήσῃς. ὁ γὰρ εὑρήσεις ἐν ἐμοί τι ἀγαθόν. κατέλαβόν με γὰρ αἱ ἀνομίαι μυ, ἢ πρὸς ἑσπέραν ἦκω κακῶς. ὅτι ἀμύθητά μυ τὰ χρέη. Ἀλλ' ὡς ἐδέξω τῦ Πέτρυ τὸν πικρὸν κλαυθμόν· πρόσδεξαι ἢ τὸν ἐμὸν Φιλάνθρωπε, ἐπιχέων ταῦτα τὰ δάκρυα ἐπὶ τὸ τῶν ἁμαρτιῶν μυ χειρόγραφον· ἢ τῷ σπόγγῳ τῆς εὐσπλαγχνίας σῦ ἐξάλειψον τὰ ἀνείκασά μυ πλημμελήματα.

ΜΙΧΑΗΛ ΚΡΙΤΟΠΟΥΛΟΥ

ἢ χριτοβύλε, τῦ Ἰμβρίε. Στίχοι

εἰς τὸν θεῖον καὶ Ἱερὸν

ΑΥΓΟΥΣΤΙΝΟΝ

Δωδεκασύλλαβοι μὲν, ἄμετροι δὲ.

Ὅστις ἔρωτα, Θεῦ ἔσχων ἐμφρόνως.
Καὶ πῦρ ἀνῆψεν, ἀγάπης ἐν καρδίᾳ,
Ἀλλὰς ὅλως τε, τῷ πόθῳ τῦ Δεσπότε.
Καὶ κατοχὴν δὲ, ἐμπνευσθεὶς θειοτέραν.
Τὸν ἄνδρα τῦτον, ἐκτόπως θαυμαζέτω.
Τὸν θεῖον ὄντως, καὶ σεπτὸν Αὐγεστῖνον.
Τῦ διακαῦς, ἔρωτος καὶ τῦ πάθες.
Καὶ τῆς ἐνθέε, κατοχῆς τε καὶ ξένης.
Ὅλην γὰρ ἐξέχεε, τὴν ψυχὴν ὧδε.
Πρὸς τὸν ἔρωτα, τῦ Θεῦ τε καὶ πλάστε.
Ἔκφρων γεγονὼς, ὅλος ἠλλοιωμένος.
Τὴν θείαν ὄντως, ἀλλοίωσιν καὶ ξένην.
Τὸ δὲ βιβλίον, συνεχῶς γε ἐπίτω.
Ἀεὶ μελετῶν, καὶ προσλαλῶν τῷ Κτίστῃ.
Καὶ Φῶς νοερὸν εἰσάγων ἐν καρδίᾳ.
Ὁδὸς γάρ ἐστι τῦτο τῆς μετανοίας.
Καὶ θύρα ζωῆς, πρὸς σωτηρίαν ἄγον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟΥ ΙΕΡΟΥ

ΑΥΓΟΥΣΤΙΝΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΙΠΠΩΝΟΣ

Προσευχαὶ πάνυ Θεολογικαὶ, κατανυκτικαὶ, καὶ πρὸς Θεῖον ἔρωτα θεωρητικαί· καλούμεναι Μονόλογοι, ὡς ἐπὶ σχήματι διαλέξεως πρὸς τὸν Θεὸν, εἰς ὠφέλειαν καὶ σωτηρίαν τῶν διὰ προσευχῆς φιλόντων ἀεὶ τῷ Θεῷ συνεῖναι. Ἑρμηνευθεῖσαι εἰς τὴν Ἑλλάδα φωνὴν παρὰ

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΚΥΔΩΝΗ.

Εὐχὴ Α'. Τί ἂν εἴποι ἡ νύμφη ψυχὴ πρὸς τὸν νοητὸν αὐτῆς, καὶ γλυκύτατον νυμφίον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πρὸς μόνον αὐτὸν διαλεγομένη.

Περὶ τῆς ἀῤῥήτου γλυκύτητος τοῦ Θεοῦ.

ΕΠιγνοίην σε Κύριε, τὸν ἐπιγινώσκοντά με. ἐπιγνοίην σε Κύριε, τὴν τῆς ἐμῆς ψυχῆς δύναμιν. δεῖξόν μοι Κύριε τὴν παράκλησίν σε. Ἴδοιμί σε τὸ Φῶς τῶν ἐμῶν ὀφθαλμῶν. ἐλθὲ ἡ τοῦ ἐμοῦ Πνεύματος εὐφροσύνη. Ἴδοιμί σε τὴν τῆς ἐμῆς καρδίας χαράν. ἀγαπήσαιμί σε τὴν ἰσχὺν τῆς ψυχῆς μου. ἐπιφάνηθί μοι ἡ ἐμὴ χαρὰ ἡ μεγάλη, καὶ ἡ γλυκεία μου. ἄνες μοι Κύριε ὁ Θεός μου ἡ τῆς ἐμῆς ψυχῆς ζωή τε καὶ δόξα. εὕροιμί σε τὴν τῆς ἐμῆς καρδίας ἐπιθυμίαν. κρατήσαιμί σε τὴν ἀγάπην τῆς ἐμῆς ψυχῆς. περιπλακοίην σοι νυμφίε ἐπτερύγιε, ἡ ἄκρα μου ἀγαλλίασις ἔνδον καὶ ἔξω. κτησαίμην σε τὴν αἰωνίαν μακαριότητα. κτησαίμην σε τὴν ἀγαθὴν ζωὴν ἀν μέσῃ μου τῇ καρδίᾳ. τὴν ἄκραν γλυκύτητα τῆς ἐμῆς ψυχῆς. ἀγαπήσαιμί σε Κύριε ἡ ἰσχύς μου. Κύριε σερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥῦσά μου. βοηθέ μου. πύργος ἰσχύος, καὶ

ος, ἡ ἐν τῇ θλίψει μου γλυκεῖα ἐλπίς. περιπτυξαίμην σε τὸ ἀγαθὸν, ὃ χωρὶς οὐδὲν ἀγαθόν. κατατρυφήσαιμί σου τῆ ἀρίστῃ, ἧ χωρισθεὶς, οὐδὲν ἄριστον. ἄνοιξον τὰ ἐνδότατα τῶν ἐμῶν κακῶν, ὁ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον λόγος, ἡ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος· ἵνα ἀκούσαιμί σου τῆς φωνῆς σου. βράντισον ὑπέρθες Κύριε, φωνῇ μεγάλῃ καὶ ἰσχυρᾷ ἠχησάτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. σαλευθήτω ἡ γῆ, καὶ πάντα τὰ ἐν αὐτῇ. φώτισον τοὺς ὀφθαλμούς μου, τὸ ἀκατάληπτον φῶς. ἄνοιξον τὴν λαμπηδόνα σου, καὶ διάχεε αὐτούς· ἵνα μὴ ἴδωσι ματαιότητα· ἵνα ὀφθῶσιν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνακαλυφθῶσι τὰ θεμέλια τῆς οἰκουμένης. δός μοι ὀφθαλμὸν φῶς ἀόρατον, ὃς τις σε ὄψεται. κτίσον ἐν ἐμοὶ καινὴν ὀσφρησιν ὑσμῆς ζωῆς· ἵνα ὀπίσω σου εἰς ὀσμὴν μύρου σου δράμω. τὴν γεῦσιν θεράπευσον, ἵνα γεύσηται καὶ διακρίνῃ καὶ γνῶ » ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε. ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, καὶ τοῖς πεπληρωμένοις τῆς σῆς ἀγάπης. δὸς καρδίαν διαλογιζομένην τὰ σά. διάνοιαν ἀγαπῶσάν σε. μνήμην ἀναπολοῦσάν σε. νοῦν σε νοοῦντα. λόγον ἐχόμενόν σου ἰσχυρῶς τοῦ ἄχρου ἥδεος, καὶ ἀγαπῶντά σε σοφῶς τὴν σοφὴν ἀγάπην. ὦ ζωὴ, ἧ πάντα ζῶσι. ζωὴ, ἡ ζωήν μοι δίδοῦσα. ζωὴ δι' ἧς ζῶ, ἧς ἄνευ θνήσκω. δι' ἧς ἀνίσαμαι, ἧς ἄνευ ἀπόλλυμαι. δι' ἣν χαίρω ἧς ἄνευ λυποῦμαι. ζωὴ, ζωοποιέ, γλυκεῖα, καὶ ἐρασὴ, καὶ ἀείμνηστε. δέομαί σου εἶ; ποῦ σε εὑρήσω; ἵνα ἀναπαύσωμαι, ἐν ἑαυτῷ ὢν, ὑποσῶ δὲ ἐν σοί· ἐγγὺς ἔσο τῷ νῷ μου, ἐγγὺς τῇ καρδίᾳ, ἐγγὺς εἰς τὴν βοήθειάν μου· ἐγγὺς τῷ σώματί μου. ὅτι ἀπὸ τῆς ἀγάπης τῆς σῆς ὀδυνῶμαι. ὅτι ἄνευ σοῦ θνήσκω. ὅτι μεμνημένος σου ἀναπνέω. Ἡ ὀσμή σε με ἀνακτᾶται· ἡ μνήμη σε θεραπεύει με· ἀλλὰ χορτασθήσομαι, ὅταν ὀφθῇ ἡ ἐμὴ δόξα, ἡ ζωὴ τῆς ἐμῆς ψυχῆς. » ἐπιθυμεῖ, καὶ ἐκλείπει ἡ ψυχή μου, πότε ἥξω καὶ ὀφθήσομαί σοι τῇ ἐμῇ εὐφροσύνῃ; διὰ τί τὸ πρόσωπόν σου ἀποστρέφεις, χαρὰ, δι' ἧς χαίρω; πῶς κρύπτῃ ὁ ὡραῖος, ὃ ἐφίεμαι; τῆς ὀσμῆς σου σπῶμαι καὶ ζῶ, καὶ εὐφραίνομαι, σὲ δὲ ἐχ ὁρῶ. τῆς φωνῆς σου » ἀκόων, ἀναβιῶ. ἵνα τί δὲ τὸ πρόσωπόν σου ἀποστρέφεις ἀπ' ἐμοῦ; » Ἴσως λέγεις; οὐκ ὄψεταί με ἄνθρωπος καὶ ζήσεται. ἄγε δὴ Κύριε, ἀποθά-

Ἐξ. ιδ'. 12.

Ψαλμ. ρλ'. 24.

Ψαλμ. μά. 2.

Ψ. μγ'.

Ἐβρ. ιδ'. λγ'. 20.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποθάνοιμι. ἵνα σε ἴδω. ἴδοιμί σε· ἵν' ἀποθάνω τῷ κόσμῳ. ὁ βάλομαι ζῆν. θέλω θανεῖν. » ἐπιθυμῶ ἀναλύσαι, καὶ σὺν Χριστῷ εἶναι. Κύριε » Ἰησοῦ, δέξαι τὸ Πνεῦμά μου. ἡ ἐμὴ ζωὴ, παράλαβε τὴν ψυχήν μου. ἡ ἐμὴ εὐφροσύνη, ἀνέλκυσον τὴν καρδίαν μου. γλυκειά μου τροφή, φάγοιμί σε. κεφαλή μου, κατεύθυνόν με. Φῶς τῶν ἐμῶν ὀφθαλμῶν, φώτισόν με. μέλος ἐμόν, ἅρμοσόν με. ὀσμή μου, ζωοποίησόν με. Θεοῦ λόγε, ἀνάπλασόν με. αἴνεσίς μου, εὔφρανον τὴν ψυχήν τοῦ δούλου σου. εἴσελθε εἰς αὐτήν, ἡ αἰώνιος εὐφροσύνη, ὅπως ὦν σοι εὐφραίνηται. εἰσελθε εἰς αὐτὴν ἡ ἄκρα γλυκύτης. ἵνα γεύηται τῶν ἀληθῶς γλυκέων. Φῶς αἰώνιον ἐπίλαμψον αὐτῇ. ἵνα σε νοῇ, καὶ γινώσκῃ, καὶ ἀγαπᾷ. διὰ γὰρ τοῦτο Κύριε, σὲ οὐκ ἀγαπᾷ. ὅτι σὲ οὐ γινώσκει. καὶ διὰ τοῦτο οὐ γινώσκει, ὅτι σὲ οὐ νοεῖ. καὶ διὰ τοῦτο σὲ οὐ νοεῖ, ὅτι οὐ καταλαμβάνει τὸ Φῶς σου. » τὸ γὰρ Φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐ- » τὸ οὐ κατέλαβεν. ὦ Φῶς τῆς διανοίας. ὦ ἀληθεια λάμπουσα. ὦ » ἀληθὴς λαμπρότης, ἡ φωτίζουσα παντα ἄνθρωτον ἐρχόμενον εἰς » τὸν κόσμον. ἐρχόμενον μὲν εἰς τὸν κόσμον, ἀλλ' οὐκ ἀγαπῶντα τὸν » κόσμον. ὁ γὰρ ἀγαπῶν τὸν κόσμον, ἐχθρὸς ἐστι τοῦ Θεοῦ. ἀπέλασον, τὸ σκότος τὸ ἐπὶ πρόσωπον τῆς ἐμῆς διανοίας· ὡς ἰδεῖν σε νοήσει, καὶ γνῶναί σε καταλήψει· καὶ ἀγαπᾷν σε γνώσει. ὁ γὰρ γινώσκων σε, ἀγαπᾷ σε ὑπὲρ ἑαυτόν. ἀφίσαται ἑαυτοῦ· ἔρχεται πρὸς σέ· ἵνα χαίρῃ ὦν σοί. καὶ διὰ τοῦτο Κύριε, οὐχ' ὅσον ὀφείλω, τοσοῦτον σὲ ἀγαπῶ, ὅτι μὴ ὄντελῶς σὲ γινώσκω. ὅτι δὲ ὀλίγον γινώσκω, ὀλίγον ἀγαπῶ. ὀλίγον ἐπὶ σοὶ χαίρω. σοῦ δὲ τῆς ἔνδον καὶ ἀληθοῦς εὐφροσύνης διὰ τῶν ἔξωθεν ἀφισάμενος, καὶ σοῦ μόνου ἐρόμενος, τὰς μοιχικὰς ταύτας φιλίας ὦν τοῖς ἔξω τούτοις ἐπιζητῶ. ἄθλιος τοίνυν ἐγω· τὴν καρδίαν, ἣν ὀφείλω σοὶ μόνῳ, ὅλη ἀγάπη, καὶ ὅλη μου διαθέσει δίδοναι. τοῖς ματαίοις ἐξέδωκα. καὶ μάταιος γέγονα, τὴν ματαιότητα ἀγαπήσας. καὶ διὰ τοῦτο οὐκ ὦν σοὶ χαίρω Κύριε· καὶ διὰ τοῦτο ὁ προσκολλῶμαί σοι. ὅτι ἐγὼ μὲν ὦν τοῖς ἔξω, σὺ δὲ ὦν τοῖς ἔνδον. ἐγὼ ὦν τοῖς προσκαίροις, σὺ ὦν τοῖς αἰωνίοις. ἐγὼ ὦν τοῖς παρερχομένοις διαχέομαι τῇ διανοίᾳ, ἐρ φόμαι τῷ λογισμῷ, τόποις προσπέφυκα· σὺ δὲ Κύριε ὦν τοῖς ἀϊδίοις, καὶ ἀϊδιότητα κατοικεῖς. σὺ ὦν οὐρανῷ, ἐγὼ

ὦν τῇ

Φιλ. α. 23.

Πραξ. ζ. 59.

Ἰωαν. α. 9.

ὢν τῇ γῇ. σὺ τὰ μετέωρα ἀγαπᾷς, ἐγὼ τὰ ταπεινά. σὺ τὰ ὑράνια, ἐγὼ τὰ ἐπίγεια. ἦ ποτε ταῦτα πάντα δυνήσονται συμφωνῆσαι;

Εὐχὴ Β'. Περὶ τῆς ἀνθρωπίνης ἀσθενείας, ἢ ἀθλιότητος.

ΤΑλαίπωρος ἐγώ! πότε ἡ ἐμὴ τρεβλότης διὰ τῆς σῆς εὐθύτητος ἀπευθυνθήσεται; σὺ Δέσποτα ἑνότητα ἀγαπᾷς, ἐγὼ πλῆθος. σὺ σιγήν, ἐγὼ δὲ βοήν. σὺ ἀλήθειαν, ἐγὼ ματαιότητα. σὺ καθαρότητα, ἐγὼ δὲ ἀκαθαρσίαν ἀκόλουθος. τί δεῖ πλεῖον λέγειν; σὺ κατὰ ἀλήθειαν ἀγαθός, ἐγὼ πονηρός. σὺ φιλάνθρωπος, ἐγὼ δὲ ὠμός. σὺ μακάριος, ἐγὼ κακοδαίμων. σὺ δίκαιος, ἐγὼ ἄδικος. σὺ φῶς, ἐγὼ δὲ τυφλός. σὺ ζωή, ἐγὼ δὲ νεκρός. σὺ φάρμακον, ἐγὼ δὲ ἀσθενής. εὐφροσύνη σύ, ἐγὼ λύπη. σὺ ἄκρα ἀλήθεια, ἐγὼ δὲ ματαιότης διόλου. καθὼς πᾶς ἄνθρωπος ζῶν. Φεῦ τί τοίνυν εἴπω δημιουργέ; ἄκουσον ὁ κτίσης. κτίσμα σου εἰμὶ, ἤδη ἀπόλωλα. κτίσμα σόν εἰμι, ἤδη τέθνηκα. σόν εἰμι ποίημα, ἤδη πρὸς τὸ μηδὲν ὑποσρέφω. πλάσμα σόν εἰμι, αἱ χεῖρές σου γὰρ ἐποίησάν με, καὶ ἔπλασάν με. χεῖρες ἐκεῖναι αἱ προσηλωθεῖσαι τοῖς ἥλοις ὑπὲρ ἐμοῦ. τὸ ἔργον τῶν χειρῶν σου Κύριε μὴ παρίδῃς. ἴδε πρὸς τὰς τῶν χειρῶν σου πληγὰς, δέομαι Κύριε. Ἰδὲ ἐν ταῖς χερσί σου ἔγραψάς με. τὴν γραφὴν ἐκείνην ἀνάγνωθι καὶ σῶσόν με. αἰ· αἰ! πρὸς σὲ τὸ σὸν ποίημα ἀναπνέω. πλάσης εἶ, σύ με ἀνάπλασον. ζωὴ εἶ, ζωοποίησόν με. αἰ αἰ! τὸ σὸν πλάσμα πρὸς σὲ ἀναβλέπω. φείσαί μου Κύριε. ἐδὲν γάρ εἰσιν αἱ ἡμέραι μου. τί γάρ ἐσιν ἄνθρωπος, ὥσε πρὸς τὸν ποιητὴν αὐτοῦ καὶ Κύριον δύνασθαι διαλέγεσθαι; φείσαί μου Κύριε, τολμῶντός σοι προσλαλεῖν. σύγγνωθι τῷ δέλῳ. ἡ ἀνάγκη νόμον οὐκ ἔχει· ἡ ὀδύνη συνελαύνει με λέγειν, ἃ, ἢν κακοδαιμονίαν πάσχω, βοᾶν ἀναγκάζει. ἀσθενής εἰμι, βοῶ πρὸς τὸν Ἰατρόν. τυφλὸς ὢν ἐπείγομαι πρὸς τὸ φῶς. νεκρός εἰμι, πρὸς τὴν ζωὴν ἀναβλέπω. σὺ εἶ ἰατρός. σὺ φῶς. σὺ ζωή. Ἰησοῦ Ναζωραῖε, ἐλέησόν με. πηγὴ τοῦ ἐλέους, ἄκουσον τὴν τοῦ νοσοῦντος βοήν. τὸ μὴ παρερχόμενον φῶς, περίμεινον τὸν τυφλόν. δὸς χεῖρα. ὥσε προσελθεῖν, καὶ φῶς ἰδεῖν τῷ φωτί σου. ζωὴ ζῶσα, ἀνακάλεσαι τὸν τεθνηκότα. τίς εἰμι, ὅτι σοὶ τολμῶ διαλέγεσθαι;

οὐαί μοι

ψ. ριή. ψαλμ. ρλζ'. 9.

ἰαί μοι Κύριε! Φεῖσαί μοι Κύριε. ἐγὼ πτῶμά εἰμι, δυσωδίας μεστόν. τροφὴ σκωλήκων. σκεῦος σαπρόν. Φεῖσαί μοι Κύριε. κακοδαίμων ἐγὼ ἄνθρωπος. ἄνθρωπος ἐκ γυναικὸς γεννηθείς, ἄνθρωπος ὀλίγον μὲν χρόνον βιῶν, πολλῶν δὲ ταλαιπωριῶν πεπληρωμένος. ἄνθρωπος ματαιότητι ὅμοιος γεγονὼς, παρασυμβληθεὶς τοῖς ἀνοήτοις κτήνεσι, καὶ ὁμοιωθεὶς ἤδη αὐτοῖς. τί πάλιν ἐγώ; ἄβυσσος σκοτεινή· γῆ ἀθλία· ὀργῆς· σκεῦος εἰς ἀτιμίαν κατηρτισμένον. ἐν ἀκαθαρσίᾳ γεννηθείς. ἐν ἀθλιότητι ζῶν. ἐν συνοχῇ θνήσκων. Φεῦ ὁ ἄθλιος! τίς εἰμι; τίς ἔσομαι; ἢ τίς γέγονα; βορβορῶδες εἰμὶ σκεῦος. σήψεως ὑποδοχή. δυσωδίας, καὶ ἀηδίας μεστός. τυφλός. πένης. γυμνός. ἀνάγκαις πολλαῖς ὑποκείμενος. τὴν ἐμὴν εἴσοδον ἀγνοῶν, καὶ τὴν ἔ-
» ξοδον ἐλεεῖς ἄξιος. ἔ αἱ ἡμέραι, ὡσεὶ σκιαὶ παράγουσιν. ἔ ἡ ζωὴ, Ψαλμ.
» ὥσπερ Σελήνη φθίνει. ὡς ἄνθος ἐν ἀγρῷ, ἔτως αὔξει, μαραίνε- ρά. 12.
ται δὲ αὐτίκα. νῦν ἀνθεῖ, καὶ ἐξαίφνης ξηραίνεται. ἡ ζωή μου πτωμάτων μεστή. τοσοῦτον μᾶλλον ἀπανθοῦσα, ὅσον μᾶλλον ἀνθεῖ. τοσοῦτον μᾶλλον προσκόπτουσα ὅσον μᾶλλον προσχωρεῖ τῷ θανάτῳ. ζωὴ ψευδὴς καὶ σκιώδης. πολλῶν παγίδων μεστή. νῦν χαίρω, ἀεὶ δὲ ἀλγῶ. νῦν ἀκμάζω. ἀεὶ δὲ ἀσθενῶ. νῦν ζῶ, αἰφνης δὲ θνήσκω. νῦν εὐδαίμων δοκῶ, ἀεὶ κακοδαίμων. νῦν γελῶ, μετ' ὀλίγον δακρύω· ἕτω δὲ μεταβολῇ πάντα ὑπόκειται· ὥστε ἡδεμίαν ὥραν μένειν ἐν μιᾷ κατασάσει. ἐντεῦθεν φόβος, ἐκεῖθεν τρόμος. ἐντεῦθεν λιμὸς ἐκεῖθεν δίψα. ἐντεῦθεν ψύχος, ἐκεῖθεν θέρμη. ἀκολουθεῖ δὲ θάνατος δυσυχὴς, μυρίοις τρόποις τὸς ἀνθρώπους καθ' ἑκάσην ἁρπάζων. τὸν μὲν γὰρ ῥίγει· τὸν δὲ ὀδύνη πιέζει. τῦτον, λιμῷ ἀναλίσκει. ἐκεῖνον, ἀποσβέννυσι δίψει. ἄλλον δὲ, ὕδασιν ἀποπνίγει. τῦτον, παγίσιν ἀπόλλυσιν, ἐκεῖνον φλογί. ἄλλον δὲ, κατατρώγει θηρίων ἀτιθάσσων ὀδοῦσι. τῦτον, κατατέμνει σιδήρῳ, ἐκεῖνον, φθείρει φαρμάκῳ· ἄλλον δὲ, ἀναγκάζει αἰφνιδίῳ τρόμῳ τὴν δυσυχῆ ζωὴν ἐκτελέσαι. ἐπὶ δὲ τύτοις, ἕτερον ἀθλιότητος εἶδος. ἀγνοεῖ γὰρ ἄνθρωπος τὸ τέλος αὐτῦ. καί τοι τῦ θανεῖν ἁδὲν ἐστι βεβαιότερον, καὶ ὅταν ἐσάναι νομίζει, ὁρᾷ τὴν ἰδίαν ἐλπίδα ἀπολλυμένην. ἀγνοεῖ δὲ ἄνθρωπος, πότε, καὶ πῦ, καὶ ὅπως τεθνήξεται. καίτοι πεπεισμένος βεβαίως, ὡς πάντως

αὐτὸν

αὐτὸν δεῖ τεθνάναι, ὦ πῶς Κύριε μεγάλη ἡ τῦ ἀνθρώπυ ἀθλιότης, ἐν ᾗ ὢν ὐ δέδοικα· ὡς μεγάλη ἡ ὀδύνη, ἣν πάσχω! ὐκ ἀλγῶ, ἢ πρὸς σὲ διὰ ταύτην ὐ κράζω, βοήσομαι δὲ Κύριε πρὸ τῦ παρελθεῖν, ἵνα μὴ παρέλθω ἐν σοὶ, ἀλλ' ἐν σοὶ μένω. ἐρῶ τοίνυν, ἐρῶ τὴν ἐμὴν ἀθλιότητα. ἐνώπιόν συ τὴν ἐμὴν εὐτέλειαν ἐξομολογήσομαι, ἢ ὐκ αἰσχυνθήσομαι.

Εὐχὴ Γ'. Περὶ τῦ θαυμαστῦ θείυ Φωτός.

ΒΟήθησόν μοι, δύναμις ἡ ἀνακυφίζυσά με. σύνδραμέ μοι, δύναμις ἡ συνέχυσά με. ἐλθὲ τὸ Φῶς δι' ὃ βλέπω. ἐπιφανόν μοι ἢ ζήσομαι. ὦ Φῶς, ὅπερ ὁ Τοβίας ἑώρα, ὅτε τὴν τῆς ζωῆς ὁδὸν ἐδίδασκε τὸν υἱὸν, κεκλεισμένων τῶν ὀφθαλμῶν. Φῶς, ὅπερ ἔνδοθεν ἔβλεπεν ὁ Ἰσαὰκ, ὅτε ἔξωθεν ἀχλυώδεσιν ὀφθαλμοῖς τῷ υἱῷ τὰ μέλλοντα προὔλεγε. Φῶς ἀόρατον, ὃ πάσης ἀνθρωπίνης καρδίας ἄβυσσός ἐσιν ὁρατή. Φῶς, ὅπερ ὁ Ἰακὼβ ἑώρα, ὅτε ὅτω τὰς υἱὰς ἔξω παρῆνει, ὥσπερ ἔνδοθεν ἐδίδασκες σύ. ἰδὲ σκότος ἦν ἐπάνω τῆς ἀβύσσυ τῆς ἐμῆς καρδίας. σὺ εἶ Φῶς. ἰδὲ ἀχλὺς σκοτεινὴ, ἐπάνω τῶν τῆς ἐμῆς
Ἰωάν. ά. 3. » καρδίας σκοτεινῶν ὑδάτων. σὺ εἶ ἡ ἀλήθεια, ὦ λόγε, δι' ὃ πάντα » ἐγένετο, ὃ χωρὶς, γέγονεν ὐδέν. λόγε ὁ πρὸ πάντων. ὃ πρότερον ὐδέν. λόγε πάντα δημιεργῶν, ὃ χωρὶς, ὐδὲν τὰ πάντα. λόγε ὁ εἰ-
Γέν. ά. 3. πὼν ἐν ἀρχῇ » γενηθήτω Φῶς, ἢ ἐγένετο Φῶς. εἰπὲ ἢ νῦν, γενηθήτω Φῶς, ἢ ἔσαι Φῶς ἢ ὄψομαι τὸ Φῶς, ἢ γνώσομαι πᾶν, ὅπερ ἐ Φῶς. σὺ γὰρ χωρὶς, σκότος μοι τὸ Φῶς. ἢ τὸ Φῶς, ὡς σκότος μοι πρόκειται. ἢ τῦ σῦ Φωτὸς ἄνευ, ὐκ ἔσιν ἀλήθεια ὐκ ἔσι διάκρισις, πάρεσι σύγχυσις πάρεσιν ἄγνοια. ὐκ ἔσι νῦν, ἐπισήμη, πάρεσι τυφλότης. ὐκ ἔσιν ὁδὸς, πάρεσιν ἀνοδία. ὐκ ἔσι ζωὴ, πάρεσι θάνατος. Ἰδὲ Κύριε, διὰ τὸ μὴ εἶναι Φῶς, ἔσι θάνατος· μᾶλλον δὲ ὐκ ἔσι θάνατος. ὐδὲν γάρ ἐσι θάνατος. δι' αὐτῦ γὰρ πρὸς τὸ μηδὲν ἐπειγόμεθα, ὅταν ἢ αὐτοὶ διὰ τῆς ἁμαρτίας ἐ δεδοίκαμεν, τὸ μηδὲν ἐργαζόμενοι. ἢ δικαίως Κύριε· ἄξια γὰρ τῶν πεπραγμένων λαμβάνομεν, ὅταν πρὸς τὸ μηδὲν καταντῶμεν, ὥσπερ διεξόδυς ὑδάτων. χωρὶς γὰρ σῦ, γέγονεν ὐδὲ ἕν. ἢ ἡμεῖς τοίνυν, τῷ ποιεῖν τὸ μηδὲν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηδὲν, γεγόναμεν ἐδὲν, διὰ τὸ χωρὶς εἶναι σᾶ δι' ἧ πάντα ἐγένετο, ἢ ἧ χωρὶς γέγονεν ἐδὲ ἕν. ὦ Κύριε. „ ὦ Θεᾶ λόγε, δι' ἧ πάντα ἐ- Ἰωάν. „ γένετο, ἧ χωρὶς γέγονεν ἐδὲ ἕν. Οὐαί μοι τῷ ἀθλίῳ, τῷ τοσαυ- ά. 3.
τάκις τετυφλωμένῳ! ὅτι σὺ φῶς, κἀγὼ χωρὶς σᾶ. τοσαυτακις πε-
πληγωμένῳ, ὅτι σὺ σωτηρία, κἀγὼ χωρὶς σᾶ. τοσαυτάκις μεμω-
ραμμένῳ ὅτι σὺ ἀλήθεια κἀγὼ χωρὶς σᾶ. τοσαυτάκις πλανηθέντι!
ὅτι σὺ ὁδὸς, κἀγὼ χωρὶς σᾶ. τοσαυτάκις τεθνηκότι! ὅτι σὺ ζωὴ,
κἀγὼ χωρὶς σᾶ. τοσαυτάκις εἰς τὸ μηδὲν καταντήσαντι. ὅτι σὺ
„ λόγος δι' ἧ πάντα ἐγένετο! κἀγὼ χωρὶς σᾶ. ἧ χωρὶς γέγονεν ἐδὲ Ἰωάν.
ἕν. ὦ Κύριε λόγε. ὦ Θεᾶ λόγε. ὃς φῶς εἶ, ἢ δι' ἧ γέγονε τὸ φῶς. ά. 3.
ὃς ὁδὸς εἶ, ἢ ἀλήθεια, ἢ ζωὴ, ἐν ᾧ ἐκ ἔστι σκότος πλάνης· ἔτε μα-
ταιότης. ἔτε θάνατος. φῶς ἧ χωρὶς σκότος. ὁδὸς, ἧς ἄνευ πλά-
νη. ἀλήθεια ἧς χωρὶς, ματαιοτης. ζωὴ ἧς χωρὶς θάνατος. εἰ-
πὲ λόγε. εἰπὲ Κύριε „ γενηθήτω φῶς· ἵνα ἴδω τὸ φῶς, ἢ τὸ σκό- Γεν.
τος ἐκφύγω. ἴδω τὴν ὁδὸν, ἢ τὴν ἀνοδίαν φυλάξωμαι. ἴδω τὴν ἀ- ά. 3.
λήθειαν, ἢ ἐκφύγω τὴν ματαιότητα. ἴδω τὴν ζωὴν, ἢ ἐκφύγω τὸν
θάνατον. „ Κύριε φωτισμός μᾶ ἢ σωτήρ μᾶ. τίνα φοβηθήσομαι; Ψαλμ.
Κύριε μᾶ, τίνα ὑμνήσω; Θεέ μᾶ, τίνα τιμήσω; Πάτερ μᾶ, τίνα ἀ- κζ'. 1.
γαπήσω; νυμφίε μᾶ, τίνι σὲ φυλάξω; φώτισον, φῶς, τῷ σῷ τυ-
φλῷ, τῷ καθημένῳ ἐν σκότει ἢ σκιᾷ θανάτᾳ. ἢ τὲς πόδας αὐ-
τᾶ κατεύθυνον, εἰς ὁδὸν εἰρήνης, δι' ἧς εἰσελεύσομαι εἰς τόπον σκηνῆς Ψαλμ.
„ θαυμαστῆς, ἕως τᾶ οἴκᾳ τᾶ Θεᾶ, ἐν φωνῇ ἀγαλλιάσεως, ἢ ἐξομο- μά. 4.
„ λογήσεως ἀληθᾶς. ἡ ἐξομολόγησις ὁδὸς ἐστι, δι' ἧς πρὸς σὲ εἰσελεύ-
σομαι. δι' ἧς ἐξελεύσομαι τῆς πλάνης, ἢ πρὸς σὲ τὴν ὁδὸν ἐπανήξω.

ΣΤΑΣΙΣ Α'.

Εὐχὴ Δ'. Τί ἐστι μηδὲν γενέσθαι.

ΕΞομολογᾶμαι τοίνυν, ἐξομολογᾶμαι, Κύριε βασιλεῦ τᾶ ὐ-
ρανᾶ, ἢ τῆς γῆς, τὴν ἐμὴν ἀθλιότητα, ἵν' ἐγγένηταί μοι
πρὸς τὸ σὸν ἔλεος ἐλθεῖν. ἄθλιος γέγονα, ἢ πρὸς τὸ μη-
δὲν ἀπεσράφην. ἢ ἐκ ἔγνων, σὺ μὲν ἀλήθεια, ἐγὼ δὲ ἐκ ἦν μετὰ
σᾶ. ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σῦ. ἐτραυμάτισάν με, ἡ γνῶναι οὐκ ἠδυνήθην. ὅτι, σὺ μὲν ζῶν, ἐγὼ
δὲ οὐκ ἦν μετὰ σοῦ. ἤγαγόν με πρὸς τὸ μηδέν. σὺ γὰρ εἶ λόγος, ἐγὼ
Ἰωάν. α. 3. „ δὲ οὐκ ἦν μετὰ σοῦ, δι' οὗ πάντα ἐγένετο, καὶ ἧ χωρὶς, ἐγένετο οὐδὲ
„ ἕν. κἀγὼ, χωρὶς σοῦ, γέγονα οὐδέν. τί ἐστι μηδέν; τὸ πρὸς μηδὲν
„ ἄγον. πάντα τὰ ὄντα, οἷα ἂν ὦσι, διὰ τοῦ λόγου γεγόνασιν. εἶδον
„ ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. πάντα τὰ ὄντα διὰ
Γεν. α. 31. τοῦ λογου γεγόνασι, καὶ τὰ γεγονότα λίαν εἰσὶ καλά. πόθεν εἰσὶ καλά;
„ ὅτι διὰ τοῦ λόγου πάντα ἐγένετο, καὶ χωρὶς ἐκείνου γέγονεν οὐδὲ ἕν.
οὐδὲν γὰρ ἀγαθὸν, τοῦ ἄκρου χωρὶς ἀγαθοῦ. ἀλλὰ τὸ κακόν ἐστιν, ὅ-
που μὴ ἦ τὸ ἀγαθόν. τοῦτο δὲ καὶ μηδέν ἐστιν. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ
κακὸν, ἢ τοῦ ἀγαθοῦ στέρησις. τὸ κακὸν τοίνυν οὐδέν ἐστιν, ὃ χωρὶς τοῦ
λόγου, κακὸν γέγονε. κακὸν δὲ ἐστιν. ὃ χωρὶς ἐστι τοῦ ἀγαθοῦ, δι' οὗ πάν-
τα τὰ ἀγαθὰ γέγονε· δι' οὗ πάντα τὰ ὄντα γεγόνασι, καὶ τὰ μὴ ὄν-
τα δι' αὐτοῦ οὐκ ἐγένετο· καὶ διὰ τοῦτο οὐδέν εἰσι· καὶ διὰ τοῦτο κακά εἰ-
σιν, ὅτι πάντα τὰ γεγονότα, διὰ τοῦ λόγου γεγόνασι, καὶ πάντα κα-
λὰ γεγόνασι. λείπεται τοίνυν πάντα τὰ μὴ γεγονότα, μηδὲ ἀγαθὰ
εἶναι. πάντα γὰρ τὰ γεγονότα, ἀγαθά εἰσι, διὰ τοῦτο κακά εἰσι τὰ
μὴ γεγονότα, καὶ διὰ τοῦτο οὐδέν ἐστιν. ὅτι χωρὶς τοῦ λόγου γέγονεν οὐδὲ
ἕν. τὸ κακὸν τοίνυν οὐδέν ἐστιν, ὅτι μηδὲ γέγονε. πῶς δὲ κακόν ἐστιν,
εἰ μὴ γέγονεν; ὅτι τὸ κακὸν, στέρησίς ἐστι τοῦ ἀγαθοῦ, δι' οὗ πάγαθὸν
γέγονε. τὸ εἶναι τοίνυν ἄνευ τοῦ λόγου, κακόν ἐστιν, ὅπερ εἶναι οὐκ ἔ-
στιν, ὅτι ἄνευ αὐτοῦ οὐδέν ἐστιν. ἀλλὰ τί ἐστι τὸ χωρισθῆναι τοῦ λόγου;
εἰ βέλει τοῦτο γνῶναι, ἄκουσον τί ἐστιν ὁ λόγος. ὁ λόγος τοῦ Θεοῦ λέ-
Ἰωάν. ιδ'. 6. γει „ ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. τὸ χωρισθῆναι τοί-
νυν τοῦ λόγου, ἐστὶ τὸ εἶναι χωρὶς ὁδοῦ, χωρὶς ἀληθείας, χωρὶς ζω-
ῆς. καὶ διὰ τοῦτο χωρὶς αὐτοῦ οὐδὲ ἕν. καὶ διὰ τοῦτο κακὸν, ὅτι χωρὶς
ἐστι τοῦ ἀγαθοῦ, δι' οὗ πάντα καλὰ λίαν. τὸ δὲ χωρίζεσθαι τοῦ λόγου,
δι' οὗ πάντα γεγόνασιν, οὐδέν ἐστιν ἕτερον, ἢ ἐκλείπειν. καὶ ἐκ στερήσεως
εἰς στέρησιν μεταβαίνειν, ὅτι χωρὶς αὐτοῦ, οὐδὲ ἕν. Ὅσάκις τοίνυν ἐκ-
τρέπῃ τοῦ ἀγαθοῦ, σαυτὸν τοῦ λόγου χωρίζεις. αὐτὸς γάρ ἐστι τὸ ἀ-
γαθόν· καὶ διὰ τοῦτο οὐδὲν γίνῃ, ὅτι χωρὶς εἶ τοῦ λόγου. οὗ χωρὶς,
γέγονεν οὐδὲ ἕν. Ἀλλὰ νῦν Κύριε Φῶς, ἐφώτισάς με· ἵνα βλέπω
εἶδόν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

εἰδόν σε, καὶ ἐμαυτὸν ἔγνων, ὅτι, τοσαυτάκις ὐδὲν γέγονα, ὁσάκις ἐχωρίσθην σε. ὅτι τῦ ἀγαθῦ, ὅπερ αὐτὸς εἶ, ἐπιλέλησμαι, καὶ διὰ τῦτο κακὸς γέγονα. Οὐαί μόι τῷ ἀθλίῳ! ἵνα τί ταῦτα μὴ ἤδειν; ὁτι σὲ καταλιμπάνων ὐδὲν ἠπισάμην. ἀλλὰ τί τῦτο ζητῶ; εἰ μηδὲν ἦν, πῶς ἠδυνάμην γινώσκειν. ἴσμεν, ὅτι τὸ μηδὲν, ὐδέν ἐσι, καὶ διότι ὐδέν, ὐδὲ ἐσί. καὶ τὸ μὴ ὂν ἀγαθὸν ὐκ ἔσιν, ὅτι μηδέν ἐσιν. εἰ τοίνυν ὐδὲν γέγονα, ὅτι ἄνευ σῦ ἦν, ὥσπερ ὐδὲν ἦν, καὶ ὥσπερ εἴδωλον, ὅπερ ὐδέν ἐσιν. ὃ δὴ, ὥτα ἔχει, καὶ ὐκ ἀκύει. ῥῖνα ἔχει, καὶ ὐκ ὀσφραίνεται. ὀφθαλμὺς, καὶ ὐ βλέπει. σόμα, καὶ ὐ λαλεῖ. χεῖρας, καὶ ὐ ψηλαφᾷ. πόδας, καὶ ὐ περιπατεῖ, καὶ πᾶσαν τὴν τῶν μελῶν διάπλασιν, ἄνευ αἰσθήσεως.

Εὐχὴ Ε'. Περὶ τῦ ἐν ταῖς ἁμαρτίαις πτώματος τῆς ψυχῆς.

Ὅτε τοίνυν ἦν χωρὶς σῦ, ὐκ ἦν, ἀλλ' ὐδὲν ἦν· καὶ διὰ τῦτο τυφλὸς ἦν, κωφὸς, καὶ ἀναίσθητος. καὶ διὰ τῦτο μήτε τὸ ἀγαθὸν ἐζήτεν ἔτ' ἔφευγον τὸ κακὸν, ἔτε τῆς ὀδύνης τῶν πληγῶν μῦ ἐπῃσθανόμην, ἔτε τὸ κακὸν, σκότος ἑώρων. ὅτι χωρὶς ἦν. σῦ τῦ ἀληθινῦ Φωτὸς, τῦ Φωτίζοντος πᾶντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Οὐαί μοι! ἐτραυμάτισάν με καὶ ὐκ ὠδυνήθην. εἵλκυσάν με, καὶ ὐκ ἠσθόμην, ὅτι ὐδὲν ἦν, ὅτι χωρὶς τῆς ζωῆς ἦν, ἥτις ἐσὶν ὁ λόγος, δι' ὗ πάντα ἐγένετο, διὰ τῦτο Κύριε. Φῶς ἐμὸν, οἱ ἐχθροί μῦ ἐποίησαν εἰς ἐμὲ πᾶν, ὅπερ ἐβύλοντο· ἔτυψαν, ἐπλήγωσαν ἐμίαναν, ἔφθειραν, ἀπέκτειναν· ὅτι ἀπέζην ἀπὸ σῦ, καὶ χωρὶς σῦ γέγονα ὐδέν. Βαβαὶ Κύριε! ἡ ἐμὴ ζωὴ, ὁ ποιήσας με. Φῶς ἐμὸν τὸ ἀγαπῆσάν με. ὑπερασπιστὰ τῆς ζωῆς μῦ, ἐλέησόν με, καὶ ἀνάζησόν με. Κύριε ἡ ἐλπίς μῦ, δύναμίς μῦ, καὶ ἰσχύς μῦ. παράκλησίς μῦ ἐν ἡμέρᾳ θλίψεώς μῦ, ἔπιδε ἐπὶ τὺς ἐχθρύς μῦ. καὶ λύτρωσαί με. Φυγέτωσαν ἀπὸ προσώπῦ σῦ οἱ μισῦντές με, κἀγὼ ζήσομαι ἐν σοὶ διὰ σῦ. αὐτὸι Κύριε κατενόησάν με, καὶ ἰδόντες με χωρὶς σῦ, κατεφρόνησάν μῦ. διεμερίσαντο τὰ τῶν ἀρετῶν μῦ ἱμάτια, οἷς με ἐκόσμησας. ἐποίησαν δὶ ἐμὲ ὁδὸν ἑαυτοῖς· κατεπάτησάν με ὑπὸ τὺς πόδας αὐτῶν. τῷ πηλῷ τῶν ἁμαρτημάτων, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σῦ. ἔθαντό με ἐξηπορη-

μέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένον, ἡ λύπη κάτοχον. τυφλὸς ἐπορευόμην ὀπίσω αὐτῶν. γυμνὸς, σχοινίοις τῶν ἁμαρτημάτων συνεσφιγμένος. εἵλκόν με ὀπίσω αὐτῶν κύκλω, ἐκ πάθους εἰς πάθος. ἐκ βορβόρου εἰς βόρβορον. ἡ ἐπορευόμην ἄνευ ἰσχύος πρὸ προσώπου αὐτῶν. δοῦλος ὢν, τὴν δουλείαν ἠγάπων. τυφλὸς, τῆς τυφλότητος ἐπεθύμουν. ὁ δεσμώτης, οὐκ ἔφριττον τὰ δεσμά. γλυκὺ τὸ πικρὸν, ἡ πικρὸν ἐπίστευον τὸ γλυκύ. ἄθλιος ἦν, ἡ οὐκ ᾔδειν. ἡ τοῦτο, ὅτι χωρὶς ἦν τοῦ λόγου. δι' οὗ χωρὶς, γέγονεν οὐδὲ ἕν· δι' οὗ πάντα συντηρεῖται. οὗ χωρὶς, πάντα εἰς τὸ μηδὲν ἄπεισιν. ὥσπερ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, ἡ χωρὶς αὐτοῦ οὐδὲ ἕν. οὕτω δι' αὐτοῦ συντηρεῖται πάντα τὰ ὄντα. εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς, εἴτε ἐν τῇ θαλάσσῃ, ἡ ἐν πάσαις ταῖς ἀβύσσοις. ἀλλ' οὐδ' ἂν ἐν τῷ λίθῳ μέρος μέρους εἶχετο, οὔτε ἄλλῳ τινὶ τῶν κτισμάτων, εἰ μὴ ὅτι ἐν τῷ εἶναι συντηροῦνται διὰ τοῦ λόγου, δι' οὗ πάντα ἐγένετο. ἐχοίμην σου λόγε, ἵνα με συντηρῇς. ἔπου γὰρ ἐμαυτοῦ ἀπέσην. ἀπωλόμην ἂν ἐν ἐμαυτῷ, εἰ μὴ σὺ ὁ ποιήσας με ἀνέπλασάς με. ἥμαρτον ἐγὼ, σύ με ἐπεσκέψω. πέπτωκα ἐγὼ, σύ με ἀνόρθωσας. ἠγνόησα σύ με ἐδίδαξας. ἐγὼ οὐκ εἶδον, σύ με ἐφώτισας.

Εὐχὴ ς'. Περὶ τῶν διαφόρων εὐεργεσιῶν τοῦ Θεοῦ.

ΚΥ'ριέ μου κακοδαίμων ἐγώ! πόσον ὀφείλω ἀγαπᾶν, δεῖξόν μοι. πόσον ὑμνεῖν σε ὀφείλω, δεῖξόν μοι. πόσον ὀφείλω ἀρέσκειν σοι. σύγγνωθί μοι. βρόντησον Κύριε φωνῇ μεγάλῃ ἡ ἰσχυρᾷ εἰς τὰ ἐνδότατα τῆς ἀκοῆς τῆς καρδίας μου. δίδαξόν με, ἡ σῶσόν με, ἵνα ὑμνήσω σε. ὃς ἔκτισάς με, μηδὲν ὄντα. ὃς ἐφώτισάς με, ἐν σκότει ὄντα. ὃς ἀνέσησάς με, θανόντα. ὃς τρέφεις με ἐκ νεότητός μου πᾶσι τοῖς ἀγαθοῖς σου. ἐμὲ τὸν ἀχρεῖον, τὸν δυσώδη τῆς ἁμαρτίας σκώληκα τρέ-
„ φεις τοῖς ἀρίστοις σου ἀγαθοῖς. ἀνοιξόν μοι, κλεὶς τοῦ Δαβὶδ, ὁ ἀ- Ἀποκ. γ'. 7.
„ νοίγων, ἡ οὐδεὶς κλείει τέτῳ, ᾧ σὺ ἀνοίγεις. κλείων, ἡ οὐδεὶς ἀ-
„ νοίγει τέτῳ, ᾧ σὺ κλείεις. ἄνοιξόν μοι τὴν τοῦ φωτός σου θύραν, ψαλμ. πε. 12.
ἵνα εἰσέλθω, ἡ ἴδω, ἡ γνῶ, „ ἡ ἐξομολογήσομαί σοι ἐν ὅλῃ καρδί-
„ ᾳ μου, ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, ἡ ἐρρύσω τὴν ψυχήν μου ἐξ ψαλ. ή.
„ ᾅδου κατωτάτου. Κύριε ὁ Θεὸς ἡμῶν, ὡς θαυμαστὸν ἡ αἰνετὸν τὸ

ὄνομά

„ ὄνομά σε ἐν πάσῃ τῇ γῇ. ἢ τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐ-
„ τῦ; ἢ υἱὸς ἀνθρώπε, ὅτι ἐπισκέπτῃ αὐτόν; Κύριε ἡ τῶν ἁγίων ἐλ-
πὶς, ἢ ὁ πύργος τῆς ἰσχύος αὐτῶν. ζωὴ τῆς ἐμῆς ψυχῆς, δι' ἧς
ζῶ. ἧς χωρὶς, θνήσκω. Φῶς τῶν ὀφθαλμῶν με, δι' ὃ ὁρῶ. ὃ χω-
ρὶς, τυφλώττω. χαρὰ τῆς καρδίας με, ἢ εὐφροσύνη τὸ πνεύματός
με. ἀγαπήσαιμί σε ὅλῃ τῇ καρδίᾳ με. ὅλῃ με τῇ ψυχῇ. ὅλοις με
τοῖς σπλάγχνοις, ἢ τοῖς ὠτος, ὅτι σύ με πρῶτος ἠγάπησας. ἢ
πόθεν μοι τοῦτο ποιητὰ ἐρανῦ. ἢ γῆς, ἢ ἀβύσσε; ὃς τῶν ἀγαθῶν
με ὃ χρείαν ἔχεις. πόθεν μοι τοῦτο, ὅτι ἠγάπησάς με; ὦ σοφία,
ἡ τὸ στόμα τῶν ἀλάλων ἀνοίγεσα. ὦ λόγε, δι' ὃ πάντα γεγόνασιν;
ἄνοιξόν μοι τὸ στόμα. δός μοι φωνὴν αἰνέσεως ἵνα τὰς σὰς εὐεργεσίας
ἐξείπω. ἃς μοι Κύριε ἐξαρχὰς ἐχαρίσω. ἰδὺ γὰρ εἰμὶ, ὅτι με ἔπλα-
σας. ἢ τὸ κτίσαί με, ἢ εἰς τὸν τῶν κτισμάτων ἀριθμὸν κατατά-
ξαι, ἐξαρχῆς σὺ προώρισας. πρὶν ἄλλο τι ποιῆσαι. πρὸ τῦ τὺς ἐρα-
νὺς ἐκτεῖναι. πρὶν ἀβύσσους εἶναι, πρὶν γῆν γενέσθαι. πρὶν τὰ ὄρη
θεμελιῶσαι. πρὶν ἐαγῆναι πηγάς. πρὶν τὰ διὰ τῦ λόγυ γενόμενα
ποιῆσαι. ἔν με τῶν σῶν κτισμάτων γενέσθαι τῇ ἀσφαλεστάτῃ τῆς σῆς
προνοίας ἀληθείᾳ προέγνως, ἢ σῦ εἶναί με κτίσμα ἠθέλησας. ἢ
τῦτο πόθεν μοι εὐμενέσατε Κύριε, Θεὲ ὕψισε, πάτερ εὔσπλαγχνε,
ποιητὰ δυνατὲ, ἢ ἀεὶ ἡμερώτατε; τίς ἡ ἐμὴ ἀξία; τίς ἡ ἐμὴ χά-
ρις; ἵν' εὐδοκίᾳ γένηται ἔμπροσθεν τῆς μεγαλοπρεπῦς σε μεγαλειό-
τητος. κτίσαι με; ἐκ ἦν ἢ ἔκτισάς με. ὑδὲν ἦν, ἢ ἐκ μηδενὸς εἶναί
με τί πεποίηκας. ποῖον δὲ τί; ὑ κύπτειον, ἢ πῦρ· ὐκ ὄρνιν, ἢ ἰ-
χθὺν, ἢ ὄφιν, ἢ τι τῶν ἄλλων ζώων. ὐ λίθον, ἢ ξύλον. ὐ τῦ γέ-
νυς ἐκείνυ, ἃ μόνα εἰσὶν, ἢ τῶν ἢ εἶναι δυναμένων, ἢ αὔξειν. ἀλ-
λ' εἶναί με ὑπὲρ ταῦτα ἠθέλησας, ὅτι ἢ εἰμὶ, ἢ αὔξω· ἢ αἰσθάνο-
μαι, ἢ παρὰ βραχὺ ἴσόν με τοῖς ἀγγέλοις ἐδημιούργησας. ὅτι σὲ ψαλμ.
γινώσκοντα, κοινὸν ἐκείνοις εἴληφα λόγον. παρὰ βραχὺ δὲ εἶπον. η. 5.
ἐκεῖνοι μὲν γὰρ διὰ εἴδυς ἔχυσιν ἤδη τὴν μακαρίαν σε θεωρίαν, ἐγὼ
δὲ δι' ἐλπίδος. ἐκεῖνοι πρόσωπον πρὸς πρόσωπον, ἐγὼ δὲ ἐν ἐσόπτρῳ,
ἢ αἰνίγματι ἐντελῶς ἐκεῖνοι, ἐγὼ δὲ ἐκ μέρυς. (1)

(1) Ὅρα πῶς ἑρμηνεύει τὸ „ παρὰ βραχύ, ὁ θεῖος ἔτος Πατήρ. Ἄλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σ Τ Α Σ Ι Σ Β'.

Εὐχὴ Ζ'. Περὶ τῆς μελλούσης ἀξίας τῶν ἀνθρώπων.

Ὅταν δὲ τὸ τέλειον ἔλθῃ, τὸ ἐκ μέρους καταργηθήσεται. τότε ἀνακεκαλυμμένῳ προσώπῳ τὸ πρόσωπόν σου ὀψόμεθα. τί τότε κωλύσει μὴ εἶναι παρὰ βραχὺ τῶν ἀγγέλων ἐλάττους ἡμᾶς; ἐς σὺ Κύριε, σωματικῶς εἶδει κεχοσμημένῳ, δόξῃ καὶ τιμῇ ἐξεφάνωσας; ἐς, ὥσπερ σοὺς φίλους λίαν τετιμηκας; μᾶλλον μὲν οὖν, ὁμοίοι διὰ πάντων, καὶ ἴσοι τοῖς ἀγγέλοις ἐσόμεθα. καὶ τοῦτο γὰρ ἡ ἀλήθειά σου φησίν. „ἰσάγγελοι γάρ εἰσι, καὶ υἱοὶ Θεοῦ. τί γὰρ θαυμαστὸν, εἰ υἱοὶ Θεοῦ ὄντες, καὶ ἰσάγγελοι ἔσονται; ἀληθῶς ἔσονταί τινες υἱοὶ Θεοῦ. ὁ γὰρ υἱὸς τοῦ Θεοῦ γέγονε καὶ υἱὸς ἀνθρώπου. Ταῦτα τοίνυν μοι καθορῶντι, ἔπεισί σοι λέγειν θαρροῦντι, ὁ παρὰ βραχὺ τῶν ἀγγέλων ἐλάττων ὁ ἄνθρωπος· οὐκ ἴσος μόνον τοῖς ἀγγέλοις, ἀλλὰ καὶ αὐτῶν ὑψηλότερος. ὁ γὰρ ἄνθρωπος Θεὸς, καὶ ὁ Θεὸς ἄνθρωπος, ἀλλ' οὐκ ἄγγελος, καὶ διὰ τοῦτο τιμιώτατον τῶν κτισμάτων ἐρῶ τὸν ἄνθρωπον εἶναι. ὁ γὰρ λόγος, ὁ ἐν ἀρχῇ Θεὸς πρὸς τὸν Θεόν, καὶ ὁ λόγος, δι' οὗ ὁ Θεὸς εἶρηκε. „γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· ἡ ἀγγελικὴ δηλονότι Φύσις. ὁ λόγος, δι' οὗ πάντα ἐδημιούργησεν ἐξαρ- „χῆς, ὁ αὐτὸς λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεα- „σάμεθα τὴν δόξαν αὐτοῦ. Ἰδοὺ δόξα, ἐφ' ᾗ μέγα φρονῶ, ὅταν ὑγιῶς φρονῶ. ἰδοὺ χαρὰ, δι' ἣν χαίρω, ὅταν ὑγιῶς χαίρω. Κύριε ὁ Θεός μου δόξα καὶ ζωὴ τῆς ψυχῆς μου. ἐξομολογήσομαί σοι τοίνυν Κύριε ὁ Θεός μου, ὅτι μεγάλως δεκτικὸν ἔκτισας. ἴσον τινα τρόπον τοῖς ἀγγέλοις ἐδημιούργησας. τελειωθεὶς γὰρ τῷ λόγῳ, δύναμαι καὶ εἰς τὴν τῶν ἀγγέλων ἰσότητα ἀφικέσθαι, καὶ τυχεῖν τῆς ἰσοθεσίας, διὰ τοῦ μονογενοῦς σου λόγου, Κύριε· διὰ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, ἐν ᾧ εὐδόκησας.

Λευκ. β'. 29.

Γεν. α'. 3.

Ἰωαν. α'. 14.

δὲ

λοι δὲ Πατέρες ἐννοοῦσι τοῦτο περὶ τῆς συναφείας τῆς νοερᾶς ψυχῆς μετὰ τοῦ ὑλικοῦ καὶ θνητοῦ σωματίου τοῦ ἀνθρώπου καθ' ὃ ἠλαττωμένος τῶν Ἀγγέλων ἐστίν. Ὁ δὲ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους, τὸ ῥητὸν εἰς τὸν Χριστὸν ἀναφέρει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ ἀνδρὸς συμφυοῦς, ᾗ ὁμοουσίου σοι, ᾗ συναϊδίου Ἰησοῦ Χριστοῦ, τοῦ ἐν-
γος Κυρίου ἡμῶν, ᾗ λυτρωτοῦ, τοῦ φωτίζοντος, ᾗ παρακαλοῦντος ἡ-
μᾶς. ἡμῶν τε συνηγόρου πρὸς σὲ, ᾗ φωτὸς τῶν ἡμετέρων ὀφθαλμῶν,
ὃς ἐστιν ἡμῖν ζωὴ, ᾗ σωτὴρ, ᾗ μόνη ἐλπὶς· ὃς μᾶλλον ἡμᾶς ἠγάπη-
σεν, ἢ ἑαυτόν. δι' ὃ ἔχομεν θάρρος ἀποκείμενον παρὰ σοὶ, ᾗ βε-
» βαίαν ἐλπίδα ᾗ εἴσοδον, ὥστε πρὸς σὲ ἐλθεῖν. ἔδωκε γὰρ ἐξουσίαν Ἰωάν.
» τέκνα Θεοῦ γενέσθαι πᾶσι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. ὑμνή- α. 12.
» σω τὸ ὄνομά σου, ὅτι με κατ' εἰκόνα σὴν, ᾗ ὁμοίωσιν κτίσας, το-
σαύτης με δόξης δεκτικὸν γενέσθαι πεποίηκας. ὥστε δύνασθαι ᾗ Υἱὸς
γενέσθαι Θεοῦ. τοῦτο, ὃ δύνανται ἄνδρα. ὃ δύνανται λίθοι. ὃδεν κα-
θόλου τῶν κινουμένων, ἢ αὐξανομένων ἐν τῷ ἀέρι, ἢ τῇ θαλάσσῃ, ἢ
τῇ γῇ. ὃ γὰρ ἔδωκεν αὐτοῖς ἐξουσίαν ὁ λόγος σου τέκνα Θεοῦ γενέσθαι,
ὅτι μὴ ἔχει λόγον. αὕτη γὰρ ἡ δύναμις ἐν τῷ λόγῳ συνέσηκε. δι' ὃ
γινώσκομεν τὸν Θεόν. τοῖς δὲ ἀνθρώποις δέδωκε ταύτην, ὃς ἔκτισε
λογικοὺς, ᾗ κατ' εἰκόνα σὴν, ᾗ ὁμοίωσιν. καγὼ τοίνυν τῇ σῇ χάρι-
τι ἄνθρωπός εἰμι Κύριε, ᾗ σὸς υἱὸς δύναμαι γενέσθαι διὰ τῆς χάρι-
τός σου. ὅπερ ἐκεῖνα ἀδυνατεῖ. ᾗ πόθεν μοι τοῦτο Κύριε; ἡ ἄκρα ἀ-
λήθεια, ᾗ ἀληθὴς ἀκρότης, ᾗ πάσης κτίσεως ἀρχή; πόθεν μοι
τὸ γενέσθαι δύνασθαι σὸν υἱὸν, ὅπερ ἐκεῖνα ὃ δύνανται; » σὺ γὰρ ὁ μέ- Σειρ.
» νων εἰς τὸν αἰῶνα, ὁμοῦ πάντα ἐδημιούργησας (2) ὁμοῦ ἀνθρώπους. ιη. 1.
ᾗ τὰ

(2) Ἔνιοι τῶν ἱερῶν θεολόγων ἀκούσαντες λέγοντος τοῦ Σειράχ » ὁ ζῶν
εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ (ιη. 1.) ὑπέλαβον ὁμοῦ πάντα τὰ κτι-
σματα ἐν τῇ α'. ἡμέρᾳ παραγαγεῖν τὸν Θεὸν, ὧν ἐις ἐστι καὶ ὁ θεῖος ἔτος
Αὐγουστῖνος, τὰς δὲ ἓξ ἡμέρας ἃς ὁ Μωσῆς διηγεῖται ἐν τῇ Κοσμογωνείᾳ, ὁ
Πατὴρ ἔτος ὑπέλαβον ἀλληγορικῶς ἀνοεῖσθαι τὰς ἓξ γνώσεις, ἐν ὧν οἱ
Ἄγγελοι τὰ δημιουργηθέντα ὑπὸ Θεοῦ κτίσματα ἔγνωσαν· πρωῒ μὲν ἐν τῷ
τοῦ δημιουργοῦ νῷ, ἑσπέρας δὲ ἐν αὐτοῖς τοῖς εἴδεσι τῶν κτισμάτων αὐτὰ
θεωρήσαντες. καὶ ἐπὶ τοῦτο λέγει καὶ ἐνταῦθα ὁμοῦ πάντα δημιουργηθῆναι.
Ἐὰν μία ᾗ δοίμην γνώμην εἶναι ταύτην τοῦ θείου Πατρός· ἀλλὰ μὴ ἐπι-
σπωμαν ἄλλου τινός. Πολλὰ γὰρ τῶν συγγραμμάτων τοῦ θείου Πατρὸς
ἐνοθεύθησαν ὡς μαρτυροῦσι πολλοί. Τὸ δὲ κοινῇ τοῦ Σειράχ, ἐνοεῖται, ὅτι
κοινῶς, ἤτοι ἡ κοινὴ ὕλη πάντων τῶν κτισμάτων ἐν τῇ α'. ἡμέρᾳ τῆς δημι-
ουργί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ τὰ κτήνη ἐδημιούργησας, τὰς λίθους, ἢ πᾶν χλωρὸν ἐπὶ τῆς γῆς. ὐδενὸς ἀξίωμα προηγήσατο. ἡ σὴ χάρις προηγήσατο μόνη. πάντα γὰρ ἔκτισας τῇ σῇ ἀγαθότητι. πάντων δὲ κτισμάτων, τὸ ἀΦ' ἑαυτων, ἴση ἦν ἀξία. ὐδεμία γὰρ ἦν ὐδενός. πόθεν μοι τοίνυν ἡ σὴ ἀγαθοτης ἐν τῇ λογικῇ κτίσει μᾶλλον ἐκπεΦανται, ἢ ἐν τοῖς ἄλλοις τοῖς ἄνευ λόγυ; διατὶ μὴ ἢ ἐγὼ ὥσπερ ἢ πάντα τὰ ἄλλα; ἢ διατὶ μὴ πάντα, ὥσπερ κἀγώ; ἢ ἐγὼ μόνος ὑπὲρ τὰ ἄλλα; τί τὸ ἐμὸν ἀξίωμα; τίς ἡ ἐμὴ χάρις; ὥσε δύνασθαι Θεῦ δεκτικόν με δημιούργημα γενεσθαι; ὅπερ τοῖς ἄλλοις πᾶσιν ἀπειρητο; μὴ γένοιτό μοι Κύριε, τῦτο Φρονῆσαι ἡ σὴ μόνη χάρις. ἡ σὴ μόνη ἀγαθότης τῦτο πεποίηκεν ὥσ' εἶναί με τῆς σῆς χρηστότητος μέτοχον. ἢ τοίνυν ἐκ τῦ μηδενὸς δεδημιούργηκας χάριτι, ταύτην μοι δεομένῳ δὸς Κύριε, ὥσε σὴν τὴν χάριν εἰδέναι.

Εὐχὴ Η'. Περὶ τῆς δυνάμεως τῦ Θεῦ.

Η Παντοδύναμός σε χεὶρ Κύριε, ἡ ἀεὶ μία ἢ ἡ αὐτή· ἔκτισεν, ἐν μὲν τῷ ὐρανῷ ἀγγέλυς· ἐν δὲ τῇ γῇ, σκώληκα. ἀλλ' ὁ μείζων ἐν ἐκείνοις, ὅτε μὴν ἐν τύτοις ἀσθενεσέρα. ὥσπερ γὰρ ὐδεμία χεὶρ ἄγγελον, ὅτως ὐδεμία δύναται ἂν κτίσαι σκώληκα· ὥσπερ ὐδεμία ὐρανὸν, ὥτως ὐδεμία τὸ εὐτελέσατον δένδρυ Φύλλον. ὥσπερ ὐδεμία σῶμα, ὅτως ὐδεμία μίαν τρίχα δύναται λευκὴν ποιῆσαι, ἢ μέλαιναν. ἀλλ' ἡ παντοδύναμός σε χεὶρ, ἢ πάντα ἐπίσης δυνατά. ὁ γὰρ αὐτῇ δυνατώτερον ὐρανὸν ἐκτεῖναι, ἢ Φύλλον. ὅτε δυνατώτερον σκώληκα κτίσαι, ἢ ἄγγελον. ὁ κρείτερον τρίχα ἁπλῶσαι. ἢ σῶμα. ὅτε δυσχερέσερον θεμελιῶσαι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ἢ ἐπὶ τὴν γῆν χέαι τὰ ὕδατα. ἀλλὰ πάντα, ὅσα ἠθέλησε, ἢ ὡς ἠθέλησε, πεποίηκεν ἐν τῷ

ὐρχίας παρήχθη. τὰ δὲ καθ' ἕκασα εἴδη τύτων, αἱ ταῖς ἑΦεξῆς πρότε ἡμέραις, ἐκ τῆς κοινῆς ἐκείνης ὕλης τῶν στοιχείων πλακεισότα, ἐδημιούργήθησαν. κατά τε τὸν Θεολόγον Γρηγόριον λόγῳ εἰς τὴν καινὴν Κυριακὴν, ἢ τὸν συνώνυμον αὐτῷ τῆς Θεσσαλονίκης Γρηγόριον, κομψῶς εἰπόντα, ἔγκυα παραχθῆναι τὰ στοιχεῖα ἐν τῇ α'. ἡμέρᾳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῷ ἐρανῷ, ἢ ἐν τῇ γῇ· ἐν τῇ θαλάσσῃ, ἢ ἐν πάσαις ταῖς ἀβύσσοις. καὶ ἐν τούτοις ὡς ἠθέλησε ἢ δεδύνηται, ἢ ἔγνω. ἠδύνατο μὲν γὰρ ἡ χείρ σε Κύριε, λίθον με, ἢ ὄρνιν, ἢ ὄφιν, ἢ ἄλλο τι θηρίον δημιουργῆσαί με. ἀλλ' οὐκ ἠθέλησε διὰ τὴν αὐτῆς ἀγαθότητα. διατὶ τοίνυν ἐγὼ, ὁ λίθος, ὁ δένδρον, ἢ ἄλλο θηρίον; ὅτι οὕτως ἔταξεν ἡ σὴ ἀγαθότης, ὥστε δὲ τοῦτο ταχθῆναι, εὐδὲν ἐμὸν ἀξίωμα προηγήσατο.

Εὐχὴ Θ'. Περὶ τοῦ θείου αἴνου.

Πόθεν μοι τοῦτο Κύριε; πόθεν αἶνος πρὸς τὸ ὑμνεῖν σε; ὥσπερ χωρὶς ἐμοῦ ἐμὲ ἐποίησας, οὕτως ἤρεσεν ἔμπροσθέν σου εἶναί σοι ἢ αἶνον χωρὶς ἐμοῦ. ὁ σὸς αἶνος Κύριε, σὺ αὐτὸς εἶ αἰνεσάτωσάν σε τὰ ἔργα σου, κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης σου. ἀπερίληπτός ἐστιν ὁ αἶνός σου Κύριε. ὁ περιλαμβάνεται καρδία· σώματι ὁ μετρεῖται. ἀκοῇ ὁ καταλαμβάνεται. ταῦτα μὲν γὰρ παρέρχεται, ὁ δὲ σὸς αἶνος μένει, εἰς τὸν αἰῶνα. ὁ λογισμὸς ἄρχεται, ὁ λογισμὸς τελευτᾷ. ἡ φωνὴ ψοφεῖ ἢ παρέρχεται. τὸ ὂς ἀκούει ἢ ἡ ἀκοὴ παρέρχεται. ὁ δὲ σὸς ἔσηκεν εἰς τὸν αἰῶνα. Τίς τοίνυν αἰνέσει σε; τίς τὴν σὴν αἴνεσιν ἀναγγελεῖ; ἡ αἴνεσίς σου αἰωνία ἐστὶ, παρερχομένη οὐκ ἔστιν. ἐκεῖνος σε αἰνεῖ, ὁ εἰδὼς ἑαυτὸν οὐκ ἀΦικνούμενον τῆς σῆς αἰνέσεως. ὦ αἴνεσις αἰωνία, ἥτις οὐδέποτε μεταβαίνεις. ἐν σοὶ ἡ ὕμνησις ἡμῶν. ἐν σοὶ ἐπαινεθήσεται ἡ ἡμετέρα ψυχή. ἐχ' ἡμεῖς σε αἰνέσωμεν, ἀλλὰ σὺ σαυτὸν, ἢ διὰ σαυτοῦ, ἢ ἐν σαυτῷ. ἢ ἡμῖν ἐστιν αἶνος ἐν σοί. τότ' ἀληθῆ ἔχομεν αἶνον, ὅτε παρὰ σοῦ τοῦτον ἔχομεν. ὅταν τὸ Φῶς τὸ Φῶς συνίσῃ, τότε σὺ τὸ ἀληθινὸν Φῶς, ἀληθῆ δίδως αἶνεσιν. Ὁσάκις ἀΦ' ἑτέρου, ἀλλ' οὐκ ἀπὸ σοῦ, αἶνον ζητοῦμεν. τοσαυτάκις τὸν σὸν ἔπαινον ζημιούμεθα. ἐκεῖνος μὲν γὰρ, παρέρχεται, ὁ δὲ παρὰ σοῦ, αἰωνίος ἐστιν. εἰ ζητοῦμεν τὰ παρερχόμενα, τὰ αἰώνια ἀποβάλλομεν. εἰ θέλομεν τὰ αἰώνια, μὴ ἀγαπῶμεν τὰ παρερχόμενα. ὦ αἰώνιε ὕμνε. Κύριε ὁ Θεός μου· παρ' οὗ πᾶς ὕμνος. οὗ χωρὶς, οὐδεὶς ὕμνος. οὐκ ἰσχύω χωρὶς σοῦ, σὲ ὑμνεῖν. ἔχομί σε ἢ ὑμνήσω σε. τί γὰρ ἐγὼ εἰμὶ Κύριε, ὥστε δι' ἐμαυτοῦ σὲ ὑμνῆσαι; χῆς ἢ τέφρα ἐγώ εἰμι. κύων τεθνηκὼς, ἢ ὄζων. σκώληξ ἐγὼ ἢ σαπρίας εἰμί. τίς ἐγὼ, ὥστε ὑμνεῖν

Ἀριθ. κζ'. 16.

μνεῖν σε; ἰσχυρὲ Θεὲ τῶν πνευμάτων. ἢ πάσης σαρκὸς, ὁ ἔχων ἀθανασίαν; μὴ τὸ σκότος ὑμνήσει τὸ Φῶς; ἢ τὴν ζωὴν ὁ θάνατος; μὴ ἡ ματαιότης ὑμνήσει τὴν ἀλήθειαν; σὺ εἶ ἡ ἀλήθεια, ἐγὼ δὲ ματαιότητι ὡμοιώθην. τίς ἐγὼ Κύριε, ὥστε ὑμνεῖν σε; μὴ ἡ δυσωδία τὴν εὐωδίαν ὑμνήσει; μὴ ἡ τῦ ἀνθρώπυ θνητότης, ἡ σήμερον ἔσα, ἢ αὔριον ἀναιρεμένη, ὑμνήσει σε; μὴ ἡ σαπρία ὑμνήσει σε; υἱὸς ἀνθρώπυ σκώληξ. μὴ ὁ ἐν ταῖς ἁμαρτίαις γεννηθεὶς, ἢ τῇ ματαιότητι σὲ ὑμνήσει; ἐχ' ὡραῖος αἶνος ἐν σόματι ἁμαρτωλῦ. αἰνεσάτω σε Κύριε ὁ Θεός μυ ὁ παντοκράτωρ, ἡ δύναμίς συ ἡ ἀπερίγραπτος, ἡ ἀῤῥητός συ σοφία, ἡ ἀγαθότης συ. αἰνεσάτω σε ἡ πάντων ὑπερέχυσα εὐσπλαγχνία συ. τὸ ὑπερβάλλον σε ἔλεος ἐλέυς. ἡ ἀΐδιός τε δύναμις ἢ θειότης. αἰνεσάτω σε ἡ παντοδύναμός συ ἰσχὺς, ἡ ἄκρα τε χρηστότης ἢ ἀγάπη συ, δι' ἣν ἡμᾶς ἔκτισας Κύριε ὁ Θεός μυ, ζωὴ τῆς ἐμῆς ψυχῆς.

Σειρ. μέ. 9.

Σ Τ Α Σ Ι Σ Γ'.

Εὐχὴ Γ'. Περὶ ἐλπίδος ὀφειλέσης ἀνατείνεσθαι πρὸς Θεόν.

Γὼ δὲ τὸ σὸν κτίσμα ὑπὸ τὴν σκέπην τῶν πτερύγων σε ἐλπιῶ. ἢ ἐν τῇ ἀγαθότητι, ᾗ με ἐδημιύργησας. βοήθησον τῷ σῷ κτίσματι, ὃ ἔκτισεν ἡ ἀγαθότος ἡ σὴ μὴ ἀπολέσθω ἐν τῇ ἐμῇ κακίᾳ, ὅπερ ἐποίησεν ἡ ἄκρα εὐσπλαγχνία συ; τίς ὠφέλεια ἐν τῷ κτίσματι, εἰ καταβήσομαι εἰς διαφθοράν; μὴ γὰρ ματαίως ἔκτισας πάντας τὺς υἱὺς τῶν ἀνθρώπων; ἔκτισας Κύριε, συντήρει τὸ δημιυργηθέν. τὰ ἔργα τῶν χειρῶν σε μὴ παρίδῃς. ἐκ τῦ μηδενός με ἐποίησας, εἰ μὴ συντηρῇς με, πάλιν εἰς τὸ μηδὲν ὑποσρέψω. ὥσπερ γὰρ ἐκ ἦν Κύριε, ἢ ἐκ τῦ μηδενός με πεποίηκας, ἔτως εἰ μή με περικρατῇς, πάλιν εἰς τὸ μηδὲν ὑποσρέψω. βοήθησόν μοι Κύριε ἡ ζωή μυ, ἵνα μὴ ἀπόλωμαι ἐν τῇ πονηρίᾳ μυ. εἰ μη με ἔκτισας Κύριε, ἐκ ἂν ἦν· ὅτι δέ με ἔκτισας ἤδη εἰμί. ἐχ' ἡ ἐμὴ ἀξία, ἐδ' ἡ ἐμὴ χάρις κτίσαι με ἠνάγκασαν. ἀλλ' ἡ σὴ εὐσπλαγχνία ἢ ἀγαθότης. ἡ πρὸς τὸ δημιυργῆσαί με προάγυσά σε ἀγάπη. αὕτη δέομαι ἢ

Ψαλμ. κθ'. 11.

Ψαλμ. ρλζ'. 9

μαι ἡ πρὸς τὸ συντηρῆσαί με ἀναγαγέτω. τί γὰρ ὠφελήσει τὸ ὑπὸ τῆς σῆς ἀγάπης κτισθῆναι, εἰ ἀπολοίμην ἐν τῇ ἐμῇ ἀθλιότητι, ἢ μὴ συντηρῇ με ἡ δεξιά σε; ἐκείνη ἡ ἀγαθότης προαγαγέτω σε Κύριε σῶσαι τὸ δημιουργηθέν, ἥτις σε ἠ ἐπῆξε κτίσαι τὸ μήπω κτισθέν. ἡ πρὸς τὸ δημιουργῆσαί με νικήσασά σε ἀγαπη· αὐτὴ σε νικησάτω ἡ πρὸς τὸ σῶσαι· ὀδὲ γὰρ ἐλάττων ἐστὶ νῦν. αὕτη γὰρ ἡ ἀγάπη· αὐ-
„τὸς εἶ σὺ, ὃς ὁ αὐτὸς ἀεὶ εἶ. ὁ γὰρ συνέσαλται ἡ χεὶρ σε, ὥστε μὴ 'Ησαΐε. νδ'. 1.
„δύνασθαι σῶζειν. ἔτ' ἐβαρύνθη τὸ οὖς σε, ὡς μὴ ἀκοῦσαι. ἀλλ' αἱ
„ἁμαρτίαι μὲ διίστασιν ἀναμέσον ἐμοῦ, ἡ σοῦ. ἀναμέσον φωτὸς, ἡ σκότους. ἀναμέσον σκιᾶς θανάτου ἡ ζωῆς. ἀναμέσον ματαιότητος, ἡ ἀληθείας. ἀναμέσον ταύτης τῆς ἐμῆς ζωῆς, ἡ τῆς σῆς ἁγίου.

Εὐχὴ ΙΑ'. Περὶ τῶν τῆς ἐπιθυμίας παγίδων.

Τοῦτο τὸ σκότος. ᾧ καλύπτομαι ἐν τῇ σκοτεινῇ ταύτῃ τοῦ δεσμωτηρίου ἀβύσσῳ, ἐν ᾧ πρινὴς κεῖμαι, ἕως οὗ ἐπιφαύσῃ ἡ ἡμέρα, ἡ ἡ σκιὰ κλίνῃ, ἡ γάνηται φωνὴ ἐν τῷ στερεώματι τῆς σῆς δυνάμεως. Ψ. κή. 4
„Φωνὴ Κυρίου ἐν δυνάμει. Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ. εἰπὲ τε
„γενηθήτω φῶς, ἡ φυγαδευθήτω τὸ σκότος. ἡ ὀφθήτω ἡ ξηρά·
„ἡ βλαστησάτω ἡ γῆ βοτάνην χλωρὰν, ἡ ποιοῦσαν σπέρμα, ἡ καρπὸν Γεν. α'. 3. 11.
ἀγαθὸν δικαιοσύνης τῆς βασιλείας σου ἄξιον. Θεὲ πάτερ ἡ Κύριε τῆς
, ἐμῆς ζωῆς, δι' οὗ πάντα ζῶσι. ἡ οὗ χωρὶς νεκρὰ παντα. μὴ κατα- Σειρ. κγ'. 4.
, λίπῃς με ἐν πονηροῖς λογισμοῖς, ἡ μὴ δῷς μοι ἔπαρσιν ὀφθαλμῶν.
, ἄφελε τὴν ἐπιθυμίαν ἀπ' ἐμοῦ, ἡ λογισμῷ ἀναιδεῖ, ἡ ἀχαλινώτῳ μὴ παραδῷς με. ἀλλ' ἔποχοῦ τῇ καρδίᾳ μου, ἵνα ἀεί σε διαλογίζηται. Φώτισον τοὺς ὀφθαλμούς μου, ἵνα σὲ ὁρῶσι, ἡ μὴ μετεωρίζωνται ἔμ-
προσθέν σου, δόξα αἰώνιε. ἀλλ' αἰσθάνωνται μετὰ ταπεινώσεως, μὴ ἐν μεγάλοις, μηδὲ ἐν θαυμασίοις ὑπὲρ αὐτούς. ἡ τὰ ἐκ δεξιῶν αὐτῶν βλέπωσιν, ὁ τὰ ἐξ ἀριστερῶν πόρρω σου. ἡ τὰ βλέφαρά σου τῆς πορείας μου προηγῶνται· „τὰ γὰρ βλέφαρά σου ἐξετάζει τοὺς υἱοὺς τῶν Ψαλμ. ι. 5.
„ἀνθρώπων. γεῦε τὴν ἐμὴν ἐπιθυμίαν τῆς σῆς γλυκύτητος. ἣν ἔκρυ-
ψας τοῖς φοβουμένοις σε, ἵν' ἐπιθυμοίην ἐπιθυμεῖν σε αἰωνίοις ἐπιθυμίαις. ἵνα μὴ τοῖς ματαίοις κηληθεῖσα, ἡ ἀπατηθεῖσα ἡ ἔνδον γεῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σις, εἰς γλυκὺ θείη τὸ πικρὸν, ἢ εἰς πικρὸν τὸ γλυκύ. τὸ σκότος εἰς φῶς. ἢ τὸ φῶς εἰς σκότος. ὅπερ ἂν ᾖ ἐν τῷ κόσμῳ, ἐπιθυμία ἐστὶ σαρκὸς, ἢ ἐπιθυμία ὀφθαλμῶν. ἢ ὑπερηφανία ζωῆς. Ἰδὲ Κύριε ὁ Θεός μου, ὅλος ὁ κόσμος μεσὸς ἐστὶ παγίδων ἐπιθυμίας ἃς ἡτοίμασαν τοῖς ποσί μου. ἢ τίς τὰς παγίδας διαφεύξεται ταύτας; πάντως, ἀφ' ἧς σὺ τὴν τῶν ὀφθαλμῶν ἔπαρσιν ἀφαιρέσεις, ὥστε μὴ θηρεύειν αὐτὸν τὴν ἐπιθυμίαν τῶν ὀφθαλμῶν. ἀφ' ἧς σὺ ἀφαιρέσεις τὴν τῆς σαρκὸς ἐπιθυμίαν, ὥστε τὴν τῆς σαρκὸς ἐπιθυμίαν μὴ συλλαμβάνειν αὐτόν. ἀφ' ἧς ἂν ἀφαιρέσῃς λογισμὸν ἀναιδῆ, ἢ ἀχαλίνωτον· ἵνα μὴ μετ' ἐκκαύσεως αὐτῷ συλλάβῃ τι τῆς ζωῆς ὑπερήφανον. ὡς μακάριός ἐστιν, ᾧ τινι ταῦτα ποιήσεις, ὥστε ἐγγὺς τούτων ἐλεύθερον διελεύσεσθαι. νῦν τοίνυν σῷ δέομαι, διὰ σῦ βοήθησόν μοι· ἵνα μὴ τῶν ἐχθρῶν μου ἔμπροσθεν καταπέσω, ταῖς παγίσιν αὐτῶν συλληφθείς, ἃς ἡτοίμασαν τοῖς ποσί μου· ἵνα τὴν ψυχήν μου συγχάμψωσιν. ἀλλὰ λύτρωσαί με, δύναμις τῆς σωτηρίας μου· ἵνα μὴ καταγε-

ψαλμ. ξζ'. ι. » λῶσί μου οἱ ἐχθροί μου, ἢ οἱ μισοῦντές με. ἀνάστηθι Κύριε ὁ Θεός » μου, ἢ διασκορπισθήτωσαν οἱ ἐχθροί μου, ἢ φυγέτωσαν ἀπὸ προ- » σώπου μου οἱ μισοῦντές με. ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός· » οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. ἐγὼ δὲ ἀπο- » κρυβήσομαι ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἢ χαρήσομαι μετὰ τῶν τέκνων σου. ἢ σὺ Κύριε ὁ Πατὴρ τῶν ὀρφανῶν, ἢ ἡ Μήτηρ τῶν ἀνήβων σου, ἄκουσον τοῦ ὁλοφυρμοῦ τῶν τέκνων σου, ἢ ἔκτεινον τὰς σὰς πτέρυγας· ἵνα φύγωμεν ὑπ' αὐτὰς ἀπὸ προσώπου ἐχθροῦ. πύργος ἰσχύος τοῦ Ἰσραὴλ ὁ μὴ νυσάζων, μήτε ὑπνῶν, ὁ φυλάσσων τὸν Ἰσραήλ. ὅτι οὐχ' ὑπνοῖ ὁ πολεμῶν τῷ Ἰσραὴλ ἐχθρός.

Εὐχὴ ΙΒ'. Περὶ τῆς ἀθλιότητος τοῦ ἀνθρώπου, ἢ τῶν τοῦ Θεοῦ εὐεργεσιῶν.

Ὦ φῶς, ὅπερ ἕτερον φῶς οὐχ' ὁρᾷ. φῶς ἀποκρύπτον πᾶν ἄλλο φῶς. φῶς, παρ' ἧς πᾶν φῶς. ἢ παρ' ὃ, πᾶν φῶς, σκότος. ἢ πρὸς ὃ, πᾶν σκότος, φῶς. ἢ ᾧ, φῶς πᾶσα ἀχλύς. φῶς ἄκρον, ὃ τυφλότης οὐκ ἀμαυροῖ. ὅπερ ἀχλὺς οὐκ ἀμβλύνει. ὃ σκότος οὐ μελαίνει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαίνει. ὅπερ ὠδὼν ἀντιφράττον ἀμαυροῖ. ὅπερ ὠδαμῶς ὠδέποτε σκιά τις συγκρύπτει. Φῶς ὅλα φωτίζον ὁμῦ ᾗ ἀεὶ, ᾗ ἄπαξ. κατάπτιέ με εἰς τὸν τῆς σῆς αἴγλης βυθόν· ἵνα πανταχόθεν σὲ ἴδω ἐν ἐμοὶ, ᾗ ἐμαυτὸν ἐν σοὶ, ᾗ πάντα ὑπὸ σέ. μὴ ἐγκαταλίπῃς με. μὴ αὐξηνθήτω ἡ σκιὰ τῆς ἀγνοίας μου, ᾗ πληθυνθῶσι τὰ παραπτώματά μου. σῦ γὰρ χωρὶς, πάντά μοι σκότος· πάντα κακά. ἀγαθὸν γὰρ ὠδὲν χωρὶς σοῦ, τοῦ μόνου. ᾗ ἀληθῆς. ᾗ ἄκρου ἀγαθοῦ. τοῦθ' ὁμολογῶ. τοῦτ' ἐπίσαμαι Κύριε ὁ Θεός μου, ὅτι ὅπου ἂν ᾧ χωρὶς σοῦ, κακόν μοι ἐστιν, ἄνευ σοῦ, ὁ μόνον Κύριε ἐκτός σου, ἀλλὰ ᾗ ἐν ἐμοὶ πᾶς πλεονασμὸς, ὃς ὐκ ἔστι Κύριος ὁ Θεός μου, ἔνδειά μοί ἐστιν. ἰαθήσομαι, ὅταν ἐπιφανῇ σου ἡ δόξα. Κύριε, ἡ ἐμὴ μακαρία ζωὴ, ποίησον· ἵνα σοὶ τὴν ἐμὴν ἀθλιότητα ἐξομολογήσωμαι. ἀφ' ἧς τῆς σῆς ἀγαθότητος ᾗ ἑνότητος. ὦ ἄκρον ᾗ ἓν ἀγαθὸν, διὰ τῶν τῆς σαρκὸς αἰσθήσεων ὁλισθήσαντά με, τὸ τῶν προσκαίρων ἀγαθῶν πολυειδὲς διέξησε τοῦ ἑνὸς, εἰς πολλὰ διεῖλε· ᾗ γέγονέ μοι ἡ περίσσεια ἐπίπονος, ᾗ ἡ ἔνδεια πολλή. ὅταν ἄλλο ᾗ ἄλλο ζητῶν, ὑπ' ὠδονὸς πληρῶμαι· ᾗ ὅταν ὐχ' εὑρίσκω σε τὸ ἀμετάβλητον, ᾗ ἑνιαῖον, ᾗ ἀδιαίρετον, ᾗ ἓν ἀγαθὸν. ὅτινος χρῄζω· ᾧ πρὲρ ἀκολουθήσας ὐκ ἂν πλανηθείην. ὐκ ἂν ἀχθοίμην. ἢ τῇ κτήσει χορτασθήσεται ἡ ἐπιθυμία μου. Φεῦ μοι τῆς ἀθλιότητος! Φεῦ Κύριε! ἡ ἀθλία μου ψυχὴ σὲ μὲν φεύγει, μεθ' ἧς χαίρει, ᾗ περισσεύεται. ἕπεται δὲ τῷ κόσμῳ, μεθ' ἧς δεῖται ἀεὶ, ᾗ ὀδυνᾶται. ἐκλείπω· βοᾷ ὁ κόσμος. σὺ βοᾷς· ἀναπαύω. ἡ δὲ ἀθλιότης ἡμῶν μᾶλλον ἕπεται τῷ ἐκλείποντι, ἢ τῷ ἀναπαύοντι. ἡ ἐμὴ ἀσθένεια αὕτη ἐστὶ Φανερῶς. ὦ τῶν πνευμάτων ἰατρὲ, θεράπευσον ταύτην· ἵν' ἐξομολογήσηταί σοι ἡ σωτηρία τῆς ἐμῆς ψυχῆς ὅλη μου τῇ καρδίᾳ, ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου, αἷς με τρέφεις ἐκ νεότητός μου, ᾗ ἕως γήρως ᾗ πρεσβείου. σοῦ δέομαι διὰ σοῦ, μὴ ἐγκαταλίπῃς με. ἐποίησάς με μὴ ὄντα· ἐξηγόρασάς με ἀπολωλότα. ἀπωλόμην. ἐτεθνήκειν· κατέβης πρὸς τὸν νεκρόν· τὸ θνητὸν ἀνελάβου· πρὸς τὸν δοῦλον κατέβης ὁ βασιλεύς· σαυτὸν παρέδωκας· ἵνα τὸν δοῦλον ἐξαγοράσῃς. ἵν' ἐγὼ ζήσω, σὺ θάνατον κατεδέξω. ἐνίκησας τὸν θάνατον. ἀνεσκευάσας με ταπεινωθείς. ἀπολώλειν· ἐπράθην ὑπὸ τὴν ἁμαρτίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίαν, ἦλθες πρός με, ἐξηγόρασάς με. τοσοῦτον ἠγάπησάς με, ὥστε τὸ σὸν αἷμα τίμημα δέδωκας. σαυτὸ πλέον ἠγάπησάς με, ὥστε ὑπὲρ ἐμοῦ ἠθέλησας ἀποθανεῖν. τιμίῳ τιμήματι ἐπανήγαγές με τῆς ἐξορίας. ἐξηγόρασάς με τῆς δουλείας. ἐξεῖλκυσάς με τῆς τιμωρίας. ἐκάλεσάς με τῷ ὀνόματί σου· ἵνα ᾖ τὸ μνημόσυνόν σου ἀεὶ παρ' ἐμοὶ, καὶ μηδέποτε τῆς καρδίας ἀποχωρήσῃ, ὅτι μηδ' αὐτὸς ὑπὲρ ἐμοῦ ἀπεχώρησας τοῦ σαυροῦ. ἔχρισάς με τῷ σῷ ἐλαίῳ, ᾧ σὺ ἠλείψω· ἵνα ὑπὸ σοῦ τοῦ Χριστοῦ καλοίμην Χριστιανός. ἀεὶ ἐν ταῖς χερσί σου μὲ ἔγραψας, ἵνα ᾖ τὸ μνημόσυνόν μου ἀεὶ παρὰ σοὶ· ἂν καὶ τὸ σὸν ὁμοίως ᾖ παρ' ἐμοί· ἕως ἀεὶ ἡ σὴ χάρις, καὶ τὸ ἔλεος προέφθασάν με· κινδύνων γὰρ πολλῶν με ἐξεῖλε ὁ λυτρωτής μου· πλανηθέντα, πρὸς τὴν ὁδὸν ἐπανήγαγες· ἀγνοοῦντα, ἐδίδαξας· λυπέμενον, παρεκάλεσας· ἀπειρηκότα, ἐνίσχυσας· πεσόντα, ἠνόρθωσας· ἰσάμενον, ἐκράτησας· πορευόμενον, ὡδήγησας· ἐρχόμενον, ὑπεδέξω· κοιμώμενον ἐφύλαξας· κράζοντα, ἐπήκουσας.

ΣΤΑΣΙΣ Δ',

Εὐχὴ ΙΓ'. Ὅτι ὁ Θεὸς ἀϊδίῳ θεωρίᾳ ἐποπτεύει τὰ ἔργα, καὶ τοὺς λογισμοὺς τῶν ἀνθρώπων.

Αὐτὰς καὶ ἄλλας πολλὰς εὐεργεσίας πεποίηκάς μοι Κύριε ὁ Θεός μου, ζωὴ τῆς ψυχῆς μου· περὶ ὧν ἡδύ μοι ἐστὶν ἀεὶ διεξιέναι· ἀεὶ λογίζεσθαι· ἀεὶ εὐχαριστεῖν· ἵνα δυνηθείην ὑπὲρ πάντων τῶν ἀγαθῶν σου ὑμνεῖν. καὶ ἀγαπᾷν σε ὅλῃ μου τῇ καρδίᾳ, ὅλῃ μου τῇ ψυχῇ, ὅλῃ μου τῇ διανοίᾳ, ὅλῃ μου τῇ ἰσχύϊ, πᾶσί μου τοῖς ἐντὸς, καὶ ταῖς ἁρμονίαις, ὦ εὐλογημένη χρηστότης Κύριε ὁ Θεός μου πάντων τῶν ἡδομένων ἐν σοί. ἀλλὰ τὸ ἀτελές μου εἶδον οἱ ὀφθαλμοί σου, οἱ μυριοπλασίως φωτεινότεροι τοῦ ἡλίου, καὶ ἐπιβλέποντες τὰς ὁδοὺς τῶν ἀνθρώπων, καὶ τῆς ἀβύσσου τὸ βάθος. οἱ ἐν παντὶ τόπῳ θεωροῦντες ἀεὶ τοὺς ἀγαθοὺς καὶ τοὺς πονηρούς. πάντων γὰρ προσκαθήμενος, ὅλος ἔκασα πληροῖς, ἀεὶ πανταχοῦ παρὼν, πάντων τε τῶν παρὰ σοῦ κτισθέντων κηδόμενος, ὧν ἐποίησας,

Σοφ. μά. 25.

» ησας. ὕτω ἡ τὰ ἐμὰ διαβήματα ἡ τὰς ὁδὺς ἐπιβλέπεις. ἡμέρας τε ἡ νυκτὸς ὑπὲρ τῆς ἐμῆς Φυλακῆς γρηγορεῖς. πάσας σημειούμενος τὰς τρίβυς μυ, ἐπόττα αἰώνιε. ὥσπερ ἂν εἰ τῆς κτίσεως ὅλης τῦ ὐρανῦ ἡ τῆς γῆς ἐπιλαθόμενος, ἐμὲ μονον ἐπέβλεπες ὐδὲν περὶ τῶν ἄλλων Φροντίζων. ὕτε γὰρ αὔξει τὸ Φῶς τῆς ἀμεταβλήτυ συ θεωρίας, εἰ εἰς μόνον ἓν ἐπιβλέπεις, ὕτ' ἐλαττῦται τὰ καθόλυ, ἡ διάΦορα ἐποπτευύσης. ὥσπερ τελείως τὸ ὅλον ὁμῦ καθορᾷς, ὕτω ἡ τὰ καθ ἕκαστα, ἡ διάΦορα ὄντα τελείως, ἡ ὁμῦ, ἡ ὅλα ὅλη ἡ σὴ ὄψις ἐΦορᾷ. ἡ ὕτω πάντα, ὥσπερ ἕν. ὕτως ἓν, ὥσπερ ἕκαστα. ὅλος ὁμῦ χωρὶς διαιρέσεως, ἢ μεταβολῆς, ἢ ἐλαττώσεως θεωρεῖς. ὅλος σὺ τοίνυν, ὅλῳ τῷ χρόνῳ, ἄνευ χρόνυ, ὅλον με, ἡ ὁμῦ, ἡ ἀεὶ καθορᾷς, ὥσπερ ἂν εἰ μηδὲν ἕτερον καθεώρας. ὕτω τοίνυν ἐγὼ ἐπὶ τῆς Φυλακῆς μυ σήσομαι, ὥσπερ ἂν, εἰ πάντων ἐπιλαθόμενος, πρὸς ἐμὲ μονον ἠβέλυ συντετασθαι. ἀεὶ γὰρ παρόντα σαυτὸν δίδως· ἕτοιμον ἀεὶ παρέχεις, εἰ κἀμὲ ἕτοιμον εὑρῃς. ὅπυ ἂν ἀπελθω ὐ καταλιμπάνεις με Κύριε· εἰ μήπυ πρότερον ἀποσαίην ἐγώ. ὅπυ ἂν ᾧ, ὐκ ἀποχωρεῖς. ὅτι πανταχῦ εἶ· ἵνα εὕρωσε, ὅπυ ἂν παραγένωμαι. μὴ ἀπόλωμαι χωρὶς σῦ. σῦ γὰρ χωρὶς, εἶναί με ἀδύνατον. ὁμολογῶ τοίνυν, ὡς, ὅπερ ἂν ποιῶ, ἡ ὅσα ἂν ποιῶ, ἐνώπιόν συ ποιῶ. ἡ ὅπερ ἂν ἄλλο ποιῶ βέλτιον ὁρᾷς σὺ τῦ ποιῦντος ἐμῦ· ὃ γὰρ ἂν ἐργαζωμαι, ὁμοίως ἀεὶ παρὼν σὺ παρίσασαι, ὡς ἂν ἐποπτης ἀΐδιος τῶν ἐμῶν λογισμῶν, ἡ βελευμάτων, ἡ ἡδονῶν, ἡ πασῶν τῶν ἐνεργειῶν. „ Κύριε ἀεὶ ἐναντίον συ πασα ἡ ἐπιθυμία μυ· πᾶς ὁ ἐμὸς λογισμός. σὺ καθορᾷς πόθεν ἔρχεται τὸ Πνεῦμα. πῦ ἐστὶ, ἡ πῦ ὑπάγει. σὺ γὰρ πάντων τῶν Πνευμάτων ὁ ζυγοστάτης. ἡ πότερον γλυκεῖα, ἢ πικρὰ ἐστὶν ἡ ῥίζα, ἐξ ἧς ἔξωθεν ὡραῖα Φύλλα προαγονται. σὺ κριτὴς ἔνδον καθήμενος· αὐτὸς σὺ βέλτιον γινώσκεις, ἡ τῶν ῥιζῶν τὴν ἐντεριώνην ἀκριβέστερον ἐρευνᾷς. ἡ ὐ μόνον τὺς διαλογισμὺς, ἀλλὰ ἡ τῆς ῥίζης αὐτῶν τὴν ἐνδοτάτην ἐντεριώνην διακριτικώτατα τῷ Φωτὶ τῆς σῆς ἀληθείας συνάγεις. σκοπεῖς. σημειοῖς. ὡς ἀποδῶναί ἐκάστῳ, ὐ μόνον κατὰ τὰ ἔργα. ἢ τὸν σκοπόν· ἀλλὰ ἡ κατ' αὐτὸ τὸ ἐνδότατον, ἡ κεκρυμμένον τῆς ῥίζης, ἐξ ἧς πρόει-

ψαλμ. λθ'. 9.

πρόεισιν ὁ τῆς πράξεως λογισμὸς, ἐφ' ὃ συντείνομαι συνεργῶν, ἢ ὃ διαλογίζομαι, ἢ ᾧ ἥδομαι, σὺ Κύριε ὁρᾷς. τὰ ὦτά σε ἀκύει. θεωρῶσιν οἱ ὀφθαλμοί σε, τεκμηρίοις ἐνώτιόν σε σημειοῖς, ἢ γράφεις ἐν τῷ βιβλίῳ σε, εἴτ' ἀγαθὸν, εἴτε κακόν. ὥστε ἀποδῶναι, μισθὸς μὲν ὑπὲρ τῶν ἀγαθῶν, τιμωρίας δὲ ὑπὲρ τῶν κακῶν. ὅταν ἀνοιγῶσιν αἱ βίβλοι, ἢ μετὰ ταῦτα κριθῶμεν, ἃ γέγραπται νῦν ἐν αὐταῖς. τοῦτ' ἔστιν ἄρα ὅπερ ἡμῖν πρότερον εἴρηκας „ θεωρήσω τὰ ἴσχατα αὐ- Ψαλμ. οϛ'. 17. „ τῶν, ἢ ὃ περὶ σοῦ Κύριε λέγεται. πάντων τὸ τέλος αὐτὸς καθορᾷς, ὅταν αὐτὸς ἐν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις, τῷ τοῦ σκοποῦ τέλει μᾶλλον, ἢ τῇ πράξει προσέχῃς. Ταῦτ' ἀκριβῶς θεωρῶν, Κύριε ὁ Θεός μου, ὁ Φοβερὸς ἢ δίκαιος ὁμοῦ, Φόβῳ ἢ μεγάλῃ αἰσχύνῃ συγχέομαι. μεγάλη γὰρ ἡμῖν τοῦ καλῶς ζῆν ἀνάγκη ἐπίκειται, ὅτι πάντα πρὸ τῶν ὀφθαλμῶν ποιοῦμεν τοῦ πάντα καθορῶντος Κριτοῦ.

Εὐχὴ ΙΔ'. Ὅτι ὁ ἄνθρωπος ὐ δύναται καθ' ἑαυτὸν ἄνευ τῆς θείας χάριτος.

ΚΡαταιὲ μεγαλοδύναμε Θεὲ τῶν πνευμάτων, ἢ πάσης σαρκὸς, οὗ οἱ ὀφθαλμοὶ ἐπὶ πάσας τὰς ὁδοὺς τῶν υἱῶν Ἀδὰμ, ἀφ' ἡμέρας γενήσεως αὐτῶν, μέχρις ἡμέρας ἐξόδου αὐτῶν· ἵν' ἀποδῷς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, εἴτε ἀγαθὰ, εἴτε πονηρά. δεῖξόν μοι ἐμαυτόν· ἵνα ἐξομολογήσωμαί σοι τὴν ἐμὴν πενίαν. εἶπον γὰρ· πλουτισθήσομαι, ἢ οὐδενὸς δεήσομαι· ἢ οὐκ ἤδειν, ὅτι πτωχὸς εἰμὶ, τυφλὸς, γυμνὸς, ἐλεεινὸς, ἄθλιος. ἐπίσευον εἶναί τι, μηδὲν ὢν. εἶπον· σοφισθήσομαι· Ἰωάν. ἢ μωρὸς γέγονα. ἐλογιζόμην ἐγκρατὴς εἶναι, ἀλλ' ὑπάτημαι· ἢ βλέ- ε'. 5. πω, ὅτι δῶρον σὸν ἐστὶ τοῦτο „ οὗ χωρὶς οὐδὲν δυνάμεθα ποιεῖν. εἰ μὴ „ γὰρ σὺ Κύριε φυλάξῃς πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Ψαλμ. οὕτω με ἐδίδαξας ἐμαυτὸν γινώσκειν. ἢ γὰρ ἐγκατέλιπές με, ἢ δεδο- ρκς'. 2. κίμακάς με. οὐχ ἵνα αὐτὸς γνῶς, ἀλλὰ δι' ἐμὲ. ἵνα γνῷ ἐμαυτόν. ὡς γὰρ εἴρηκα. Κύριε. ἐπίσευον γενέσθαί τι ἐμοὶ ἐξ ἐμαυτοῦ. ἐπίσευον ἀρκεῖν ἐμαυτῷ, ἢ οὐ συνῆειν, ὅτι σύ με ποιμαίνεις. ἔως ὀλίγον σοῦ μακρυνθέντος ἀπ' ἐμοῦ, πέπτωκα ἐξαίφνης ἐν ἐμαυτῷ, ἢ εἶδον, ἢ ἔγνων, ὅτι σύ με ἦγες. ἢ τὸ πεσεῖν με γέγονεν ἐξ ἐμοῦ, ἢ τὸ ἀνασῆ-

ναι ἐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι ἐκ σοῦ. ἠνοιξάς μου τοὺς ὀφθαλμούς, ὦ Φῶς, καὶ ἐτύφλωσάς με, καὶ πάλιν ἐφώτισάς με. καὶ εἶδον, ὅτι πειρατήριόν ἐστιν ἐπὶ τῆς γῆς ἡ τοῦ ἀνθρώπου ζωή. καὶ ὅτι ἐνώπιόν σου οὐ δύναται καυχήσασθαι πᾶσα σὰρξ, εἴτε δικαιωθήσεται πᾶς ζῶν. ὃ γὰρ ἂν ᾖ ἀγαθὸν, εἴτε μείζονος, εἴτ' ἐλάττονος ἄξιον, σοῦ ἐστὶ δῶρον. καὶ οὐδὲν ἡμέτερον, πλὴν τοῦ κακοῦ. Πόθεν τοίνυν καυχήσεται πᾶσα σάρξ; μὴ ἐπὶ τῷ κακῷ; ἀλλὰ τοῦτο δόξα οὐκ ἔστιν, ἀλλ' ἀθλιότης. ἀλλ' ἐπὶ τῷ ἀγαθῷ καυχήσεται; ἐκεῖ ἐπὶ τῷ ἀλλοτρίῳ. σὸν γάρ ἐστι τὸ ἀγαθὸν Κύριε, σὴ καὶ ἡ δόξα. ὁ γὰρ ἑαυτῷ, ἀλλὰ μὴ σοὶ, δόξαν ζητῶν, ἐσὼς ἐπὶ τῷ σῷ ἀγαθῷ, ἔτος κλέπτης ἐστὶ, καὶ λῃστὴς, καὶ τῷ διαβόλῳ ὅμοιος, τῷ ὑφελέσθαι βεληθέντι τὴν δόξαν σου. ὁ ἐπὶ τῷ σῷ ἀγαθῷ βεβόμενος ἐπαινεῖσθαι, καὶ μὴ ὂν αὐτῷ τὴν σὴν δόξαν ζητῶν, ἀλλὰ τὴν ἰδίαν, ἔτος εἰ καὶ διὰ τὸ σὸν δῶρον ὑπὸ τῶν ἀνθρώπων ἐπαινεθείη, ἀλλ' ὑπὸ σοῦ ἐξεδενωθήσεται, ὅτι τὴν αὐτοῦ δόξαν ἐπὶ τῷ σῷ δώρῳ, ἀλλ' οὐ τὴν σὴν, ἐζήτησεν. οὐ' ὑπὸ τῶν ἀνθρώπων ἐπαινούμενος, σοῦ μεμφομένου, οὐ βοηθηθήσεται ὑπὸ τῶν ἀνθρώπων. κρίνοντός σου, ἀλλ' οὐδὲ ἐξαρεθήσεται. διὸ Κύριε ὁ πλάσας μου ἐκ κοιλίας Μητρός μου, μή με ἐάσῃς πεσεῖν εἰς τοῦτον τὸν ἀδόκιμον νοῦν· ὥστε ἐξελεγχθῆναι βεβόμενον κλέψαι τὴν σὴν δόξαν. σοὶ εἴη ἡ δόξα, ὅ ἐστι πᾶν ἀγαθόν. ἡμῖν ἡ ἀθλιότης, καὶ ἡ αἰσχύνη τοῦ προσώπου ἡμῶν, ὧν ἐστι καὶ πᾶν κακὸν, εἰ μὴ σὺ βέβοιο ἐλεήσαι, ἀλλ' ἐλεεῖς Κύριε πάντα ὅσα ἐποίησας, καὶ οὐδὲν μισεῖς ὧν ἐποίησας. διὸ δὸς ἡμῖν ἐκ τῶν ἀγαθῶν σου, καὶ πλούτισον τοὺς πένητας ἡμᾶς ἐκ τῶν σῶν ἀρίστων. ὅτι τοὺς πένητας ἀγαπᾷς, καὶ πλουσίους αὐτοὺς ποιεῖς τῷ σῷ πλούτῳ. Ἰδοὺ Κύριε πένητες ἐσμὲν τὰ σὰ τέκνα, καὶ μικρὸν τὸ σὸν ποίμνιον. ἄνοιξον ἡμῖν τὰς θύρας σου, καὶ φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσί σε οἱ ἐκζητοῦντές σε. οἶδα Κύριε καὶ ὁμολογῶ σοῦ διδάσκοντος, ὅτι μόνοι οἱ πένητες γινώσκοντές ἑαυτοὺς, καὶ τὴν ἑαυτῶν πενίαν ὁμολογοῦντές σοι, πλουτισθήσονται παρὰ σοῦ. οἱ δὲ πλουσίους νομίζοντες ἑαυτοὺς, πένητες ὄντες, τῶν σῶν ἀποκλεισθήσονται θησαυρῶν. Καὶγὼ τοίνυν τὴν ἐμὴν ἐξομολογοῦμαι πενίαν. σὴ ἡ δόξα, ὅτι σόν ἐστι πᾶν ἀγαθόν. δι' ἐμαυτοῦ γὰρ ὁμολογῶ Κύριε, καθώς με ἐδίδαξας· οὐδὲν ἄλλο εἰμὶ, ἢ καθόλου ματαιό-

Ἰώβ. 7. ά Κορ. ά. ψαλμ. ρμϛ'. 2. Σοφ. ιά. 25. ψαλμ. κά. 28.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταμότης, ἡ θανάτε σκιὰ, ἡ σκοτεινή τις ἄβυσσος, ἡ γῆ ἀόρατος ἡ ἀκατασκεύασος. ἡ τῆς σῆς εὐλογίας χωρὶς. ὐδὲν βλασάνει, ὐδὲ καρπὸν ὐδένα ποιεῖ πλὴν αἰσχύνης, ἡ ἁμαρτίας, ἡ θανάτε. εἴτι ποτὲ ἔσχον ἀγαθὸν, ἐκ σᾶ τᾶτο ἔλαβον. εἴτι ἀγαθὸν παρ' ἐμοὶ, τὸ σὸν ἔχω. εἴτί ποτε ἔσην διὰ σᾶ ἔσην. εἴποτε πέπτωκα, δι' ἐμᾶ πέπτωκα. ἐν πηλῷ ἂν ἐκείμην ἀεὶ, εἰ μὴ σύ με ἐντεῦθεν ἐξείλκυσας. ἀεὶ τυφλὸς ἂν ἦν, εἰ μὴ σύ με ἐφώτισας. ὅτε πέπτωκα, ὐδέποτε ἂν ἀνέσην, εἰ μὴ χεῖρά μοι ὤρεξας. μετὰ τὸ ἀναστῆναί με, ἀεὶ ἂν κατέπιπτον, εἰ μή με ὑπήρειδες. πολλάκις ἂν ἀπολώλειν. εἰ μή με ἐκυβέρνας. ἔτως ἀεὶ Κύριε ἡ χάρις σε ἡ τὸ ἔλεός σε προέφθασάν με, ἐλευθερᾶντά με κακᾶ παντός. λύοντα τῶν παρελθόντων κακῶν· ἀνισῶντα τῶν παρόντων· ἀσφαλίζοντά με πρὸς τὰ μέλλοντα· προηγέμενά με· αἴροντα τὰς τῶν ἁμαρτιῶν παγίδας, ἡ τὰς προφάσεις, ἡ τὰς αἰτίας: εἰ μὴ σύ μοι ταῦτα πεποίηκας, κόσμε πᾶσαν ἁμαρτίαν ἂν ἔπραξα. οἶδα γὰρ ὡς ὐδὲν ἐσιν ἁμάρτημα ὑπ' ἀνθρώπε πραχθὲν, ὅπερ ὐκ ἂν δύναιτο πρᾶξαι ἡ ἄλλος, εἰ μὴ παρείης ὁ δημιεργὸς, ὑφ' ἕ γέγονεν ἄνθρωπος. ἀλλ' ὥσε μὴ ταῦτα ποιῆσαι σὺ πεποίηκας. τότων ἐγκρατεύεσθαι σὺ προσέταξας, ὥσε σοὶ πιςεύειν τὴν σὴν ἐχωρήγησας χάριν. σύ με Κύριε ἐποίμαινες. σύ με ἐτήρεις, ἡ σοὶ, ἡ ἐμαυτῷ, ὥσε μοιχείαν, ἤ τινα ἄλλην ἁμαρτίαν μὴ πρᾶξαι.

Εὐχὴ ΙΕ'. Περὶ τᾶ διαβόλε, ἡ τῶν αὐτᾶ διαφόρων πειρασμῶν.

Ἄπεσιν ὁ πειρασὴς, ἡ σὺ πεποίηκας τᾶτον ἀπεῖναι. ἄπεσιν ὁ τόπος ἡ ὁ καιρὸς, ἡ σὺ πεποίηκας τότες ἀπεῖναι. πάρεσιν ὁ πειρασὴς, ὐκ ἄπεσιν ὁ τόπος. ὐκ ἄπεσιν ὁ καιρὸς, ἡ σύ με τότοις μὴ συγκαταθέσθαι ἀπεῖπες. ἦλθον ὁ πειρασὴς σκοτεινὸς, ὥσπερ ἐσὶ, ἡ σύ με ἐνίσχυσας τότε καταφρονῆσαι. ἦλθον ὁ πειρασὴς ὡπλισμένος, ἡ ἰσχυρὸς, ἡ σὺ καὶμὲ ἐνίσχυσας, ὥσε μὴ νικηθῆναι, καὶκεῖνον ἐχαλίνωσας. ἦλθον ὁ πειρασὴς μετασχηματισθεὶς εἰς ἄγγελον φωτὸς, σὺ δὲ ἐπετίμησας τότῳ. ὥσε μὴ ἀπατῆσαι· ἡ ὥσε τᾶτον γνῶναι, σύ με ἐφώτισας. αὐτὸς γάρ ἐσι Κύριε, ὁ δράκων ὁ μέγας ἡ φοινικᾶς· „ ὁ ἀρχαῖος ὄφις, ὁ σατανᾶς, ἡ διάβολος ἐπικεκλημένος. ἔχων κε-

Ἀποκ. ιβ' 9.

φαλὰς

„ Φαλὰς ἑπτὰ, ᾗ δέκα κέρατα. ὃν ἔπλασας ἐμπαίζειν τῇ θαλάσ-
„ σῃ ταύτῃ τῇ μεγάλῃ, ᾗ εὐρυχώρῳ, ᾗ τοῖς πλοίοις. ἐν ᾗ ἑρπετὰ, ψαλμ.
„ ὧν οὐκ ἔστιν ἀριθμὸς. ᾗ ζῶα μικρὰ μετὰ μεγάλων, διάφορα δαιμονίων ργ'. 28.
γένη, ἃ νυκτὸς ᾗ ἡμέρας ὁδὸν ἕτερον δρῶσιν. ἢ περιέρχονται ζητοῦντα
τίνα καταπίῃ, εἰ μὴ σὺ λυτρώσῃ. αὐτός ἐστιν ὁ ἀρχαῖος ἐκεῖνος δρά-
„ κων, ὃς ἐνέκυψεν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς. ὁ τῷ ἁρπάγῳ ἕλκων Ἀποκ.
„ τὸ τρίτον μέρος τῶν ἄστρων τοῦ οὐρανοῦ, ᾗ ταῦτα καταβάλλων εἰς γῆν. ιβ. 4.
ὃς τὰ τῆς γῆς ὕδατα τῷ αὐτοῦ φθείρει δηλητηρίῳ, ὥστ' ἀποθνήσκειν
„ τοὺς πίνοντας. ὁ ὑποστρωννὺς ἑαυτῷ τὸν χρυσὸν ὡς πηλὸν, ᾗ πεποι- Ἰωὴλ. μ'.
„ θὼς εἰς τὸ στόμα αὐτοῦ τὸν Ἰορδάνην ἐγχεῖν. ὁ γεγονὼς, ὥστε μηδέ-
να φοβεῖσθαι, ᾗ τίς ἁπαλλάξει τῶν δηγμάτων αὐτοῦ; τίς λυτρώ-
σεται τοῦ στόματος αὐτοῦ; εἰ μὴ σὺ Κύριε ὁ συντρίψας τὴν κεφαλὴν
τοῦ δράκοντος τοῦ μεγάλου. ἔκτεινόν σου τὰς πτέρυγας, ὥστε φυγεῖν, ὑπ'
αὐτὰς ἀπὸ προσώπου τοῦ ὄφεως τούτου τοῦ διώκοντος ἡμᾶς. ᾗ τῷ θυ-
ρεῷ σου ῥῦσαι ἡμᾶς τῶν κεράτων αὐτοῦ. τοῦτο γάρ ἐστιν αὐτῷ ἀγὼν συ-
νεχής. αὕτη ἐξαίρετος ἐπιθυμία, τὸ τὰς ψυχὰς, ἃς ἔκτισας κατα-
πίνειν. διὰ τοῦτο πρὸς σὲ βοῶμεν. ῥῦσαι ἡμᾶς τοῦ καθημερινοῦ ἡμῶν
ἀντιδίκου. ὃς, εἴτε καθεύδομεν, εἴτ' ἀγρυπνοῦμεν, εἴτ' ἐσθίομεν, εἴτε
πίνομεν, εἴτ' ἄλλο τι ἐργαζόμεθα, πᾶσι τρόποις ἐφέστηκεν ἡμέρας τε
ᾗ νυκτὸς, τέχναις· ἀπάταις, νῦν φανερῶς, νῦν λάθρα, δηλητηρι-
ώδη καθ' ἡμῶν πέμπων βέλη, ὥστ' ἀποκτεῖναι τὰς ἡμετέρας ψυχάς.
ἀλλ' ὅμως χειρίσῃ Κύριε, ᾗ ἡ ἡμετέρα μανία. εἰ γὰρ ᾗ συνεχῶς ὁ-
ρῶμεν καθ' ἡμῶν τὸν δράκοντα, ἀνεωγμένον ἔχοντα τὸ στόμα πρὸς τὸ
καταπιεῖν, ὁδὸν ἧττον καθεύδομεν, ᾗ ἀναπίπτομεν ἐν τῇ ἡμῶν ῥᾳ-
θυμίᾳ. ὡς ἐν ἀσφαλείᾳ ὄντες πρὸς αὐτὸν, τὸν μηδὲν ἕτερον ἐπιθυ-
μοῦντα, ἢ τὴν ἡμετέραν ἀπώλειαν. ὁ ἐχθρὸς ἀεὶ πρὸς τὸν φόνον γρη-
γορεῖ ἄνευ ὕπνου, ᾗ ἡμεῖς ὥστε ἡμᾶς αὐτοὺς φυλάξαι, ὃ βουλόμεθα ἐκ
τοῦ ὕπνου διεγερθῆναι. Ἴδε πρὸ τῶν ποδῶν ἡμῶν ἐξέτεινον ἀπείρους πα-
γίδας, ᾗ πάσας τὰς ὁδοὺς ἡμῶν ἀπάτης ἐπλήρωσαν, ὥστε τὰς ἡμετέ-
ρας ἀπατῆσαι ψυχὰς, ᾗ τίς διαφεύξεται; παγίδας ἀπέκρυψεν ἐν
πλούτῳ, ἐν πενίᾳ. παγίδας ἐξέχεεν ἐν τροφῇ, ἐν ποτῷ, ἐν ἡδονῇ, ἐν
ὕπνῳ, ἐν ἀγρυπνίᾳ, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν πάσῃ ὁδῷ ἡμετέρᾳ. ἀλλὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὺ Κύριε ῥῦσαι ἡμᾶς ἐκ τῆς παγίδος τῶν θηρευόντων, καὶ ἀπὸ λόγου
ψαλμ. ριγ'. 5. » σκληρᾶ. ἵνα σοὶ ἐξομολογησώμεθα, λέγοντες. εὐλογητὸς Κύριος,
» ὃς οὐκ ἔδωκαν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ ψυχὴ ἡμῶν ὡς
» στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.

ΣΤΑΣΙΣ Ε'.

Εὐχὴ Ις'. Ὅτι ὁ Θεὸς ἐστι φῶς τῶν Δικαίων.

Κ Αὶ σὺ Κύριε τὸ ἀληθινὸν φῶς, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, ὥστε ἰδεῖν φῶς, καὶ περιπατῆσαι ἐν τῷ φωτί σου, καὶ μὴ ἐμπεσεῖν εἰς τὰς παγίδας αὐτοῦ. τίς γὰρ διαφεύξεται παγίδας πολλὰς, μὴ βλέπων αὐτάς; τίς δὲ ὄψεται εἰ μὴ ὃν ἂν σὺ Κύριε, τῷ φωτί σου φωτίσῃς; αὐτὸς γὰρ ὁ τοῦ σκότους Πατὴρ ἔκρυψεν ἐν τῷ σκότει τὰς παγίδας αὐτοῦ, καὶ ἁλωσονται ἐν αὐταις πάντες οἱ ἐν τῷ σκότει ὄντες. οἱ τοῦτο τὸ σκότος ὄντες, οἱ μὴ ὁρῶντες τὸ φῶς σου. ἐν ᾧ ὁ κατοικῶν ὁ φοβηθήσεται. ὁ γὰρ ἐν ἡμέρᾳ περιπατῶν ὁ προσκόπτει. ὁ δὲ ἐν νυκτὶ πορευόμενος προσκόπτει, ὅτι μὴ ἔχει φῶς ἐν αὐτῷ. σὺ φῶς Κύριε. σὺ φῶς, τῶν ἡμῶν τὸ φωτός. σὺ ἡμέρα μὴ γινώσκουσα δύσιν, ἐν ᾗ περιπατοῦσιν οἱ σοὶ ὁδοὶ χωρὶς προσκόμματος. καὶ ἧς ἐκτὸς οἱ πορευόμενοι, ἐν σκότει εἰσὶν, ὅτι σὲ τὸ φῶς τοῦ κόσμου οὐκ ἔχουσιν. Ἰδοὺ καθ' ἡμέραν ὁρῶμεν, ὅτι ὅσῳ τις σοῦ τοῦ ἀληθινοῦ φωτὸς μᾶλλον μακρύνεται· τοσούτῳ τῷ τῶν ἁμαρτιῶν σκότει μᾶλλον ἐγκαλινδεῖται. καὶ ὅσῳ μᾶλλον ἐστὶν ἐν τῷ σκότει τοσούτῳ ἧττον τὰς ἐν τῇ ἑαυτοῦ ὁδῷ παγίδας ὁρᾷ. καὶ διὰ τοῦτο ἧττον γινώσκει καὶ διὰ τοῦτο συνεχέστερον ἁλίσκεται, καὶ ταύταις ἐμπίμπτει. καὶ τὸ φοβερώτατον, ἐμπίπτοντα ἑαυτὸν ἀγνοεῖ. ὁ δὲ τὸ ἴδιον ἀγνοῶν πταῖσμα, τοσούτῳ ἧττον ἀναστῆναι φροντίζει, ὅσον ἑαυτὸν ἔτι νομίζει ἑστάναι. σὺ δὲ φῶς τῆς διανοίας μου Κύριε, φώτισον νῦν τοὺς ὀφθαλμούς μου, ἵνα ἴδω, καὶ γνῶ, καὶ μὴ πταίσω ἐνώπιον τῶν ἐχθρῶν μου. ὑπὲρ τοῦτο γὰρ πάντα πράττει μισῶν ἡμᾶς ὁ ἡμέτερος ἐχθρὸς, ὃν αἰτοῦμαι ταχὺναι ἀπὸ προσώπου σου, ὡς τύχεται κηρὸς ἀπὸ προσω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσώπε πυρός. αὐτὸς γὰρ Κύριε ὁ πρῶτος, ἡ ἔσχατος λήξης, ὁ βελευσάμενος ἁρπάσαι τὴν δόξαν σε· ὅτε φυσιωθεὶς, ἡ ἐπαρθεὶς, „ πέπτωκεν εἰς τὸν λάκκον αὐτῦ. ἡ ἀπέρριψας αὐτὸν ἐκ τῦ ὄρες τῦ „ ἁγίε σε. ἐκ μέσε καιόντων λίθων, ὧν ἐν μέσῳ πεπόρευται. ἡ νῦν, ἡ ζωή με Κύριε ὁ Θεός με, ἀφ' ἧ πέπτωκεν ἐκεῖνος, ὃ παύεται διώκων τὰ τέκνα σε, μισῶν σε ὦ μέγιστε βασιλεῦ, ἡ ἐπιθυμεῖ ἀπολέσαι τὸ κτίσμα σε, ὃ κατ' εἰκόνα σὴν ἡ ὁμοίωσιν ἔκτισεν ἡ σὴ παντοδύναμος ἀγαθότης, τῦ κτήσασθαι τὴν δόξαν σε, ἣν αὐτὸς τῇ ἰδίᾳ ὑπερηφανίᾳ ἀπώλεσεν. ἀλλὰ σύντριψον αὐτὸν, κραταιὲ, ἐνώπιον ἡμῶν τῶν προβάτων σε. ἡ φώτισον ἡμᾶς· ἵνα ἴδωμεν τὰς παγίδας, ἃς αὐτὸς ἡτοίμασε, ἡ διαδράσωμεν, ἡ χαρὰ τῦ Ἰσραήλ. ἡ ταῦτα παντα βέλτιον σὺ γινώσκεις, ὁ ἐγνωκὼς τὴν φιλονεικίαν αὐτῦ, ἡ τὸν σκληρὸν αὐτῦ τράχηλον. ἡ ὲ τῦτο φημὶ. ἵνα σοὶ γνωρίσω τῷ πᾶντα εἰδότι, ἡ ὃν ὐδεὶς λέληθε λογισμός. ἀλλὰ πρὸ τῶν ποδῶν σε ἀνακλαίομαι τὴν παρὰ τῦ ἐχθρῦ βίαν, ἀΐδιε δικαιε. ἵνα αὐτὸν καταδικάσῃς, ἡ ἡμᾶς τὰ τέκνα σε σώσῃς. ὧν ἰσχὺς, σὺ εἶ. Πανῦργός ἐσι Κύριε ὁ ἐχθρὸς ἔτος, ἡ σκολιὸς, ἡ ὲ ῥᾳδίως ἄν τις καταλάβοι τὰς ἑλιγμὰς τῶν ὁδῶν αὐτῦ. ἔτε γνοίη τὸ τῦ προσώπε αὐτῦ εἶδος, εἰ μὴ σὺ φῶς παράσχῃς. νῦν μὲν, ἐνταῦθα· νῦν δὲ, ἐκεῖ. νῦν, ἀρνίον. νῦν, λύκος. νῦν, σκότος. νῦν, φῶς δείκνυσιν ἑαυτόν. ἑκάσαις τε ποιότησι, ἡ τόποις, ἡ χρόνοις, κατὰ διαφόρες τῶν πραγμάτων μεταβολὰς, ποικίλες ἐπαγει πειρασμές. ἵνα μὲν γὰρ ἀπατήσῃ τὰς λυπεμένας, λυπειται ἡ αὐτός· ἵνα τοῖς χαίρεσιν ἐμπαίξῃ, χαίροντα ἑαυτὸν πλάττει. „ἵνα τὰς Πνευματικὰς παραχρή- „σηται, μεταμορφοῖ εἰς ἄγγελον φωτὸς ἑαυτόν· ἵνα τὰς ἰσχυρὰς συντρίψῃ, ὡς ἀμνὸς φαίνεται. ἵνα καταπίῃ τὰς πράεις, ὡς λύκος δοκεῖ. Ταῦτα δὲ πάντα καθ' ὁμοιότητα τῶν ποικίλων πειρασμῶν εἴ- „ωθε γίνεσθαι. ὥσπερ ἡ ἄλλες μὲν, ἀπὸ φόβε νυκτερινῦ. ἄλλες „ἀπὸ βέλες πετωμένε ἡμέρας. ἑτέρες, ἀπὸ πράγματος ἐν σκότει „διαπορευομένε. ἄλλες ἀπὸ συναντήματος. ἑτέρες δὲ ἀπὸ δαιμονίε „μεσημβρινῦ. ἡ πρὸς ταῦτα, τίς ἱκανός; τίς ἀπεκάλυψε τὸ εἶδος „τῦ ἱματίε αὐτῦ; ἡ τὸν γύρον τῶν ὀδόντων αὐτῦ τίς ἔγνω; ἔκρυ-

Ἰεζεκ. κή. 14.

Β' Κορ. ιά. 14.

Ψαλμ. ύ. 9.

ψε βέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰώς. μά. » ψε βέλη εἰς Φαρέτραν, ἡ παγίδας ἐν εἴδει Φωτός. ἡ τῦτο δυσχερέστερον κατανοεῖται· εἰ μὴ παρὰ σῦ, Κύριε ἡ ἐλπὶς ἡμῶν, λάβοιμεν Φῶς, ἵνα βλέπωμεν. ὃ μόνον γὰρ ἐν τοῖς τῆς σαρκὸς ἔργοις, ἃ ῥᾳδίως ἄν τις γνοίη, ὄχ ἐν αὐτοῖς τοῖς πάθεσι μόνον, ἀλλὰ ἡ ἐν αὐταῖς ταῖς πνευματικαῖς ἐργασίαις, παγίδας ὑπέκρυψε λεπτοτέρας.

Β'. Κορ. ιά. 14. » ἡ ἐν χρώματι ἀρετῶν, περιέθηκε πάθη. ἡ μετασχηματίζεται εἰς » ἄγγελον Φωτός. ταῦτα ἡ ἄλλα πολλὰ καθ ἡμῶν ἐπιχειρεῖ ὁ υἱὸς τῦ Βελίαρ, ὁ σατᾶν. Κύριε ὁ Θεός μῦ, ποτὲ μὲν ὡς λέων, ποτὲ δὲ ὡς δράκων· κεκρυμμένως, ἡ Φανερῶς· ἔνδον, ἡ ἔξω· ἡμέρας, ἡ νυκτὸς, ἐνεδρεύει τῦ ἁρπάσαι τὰς ψυχὰς ἡμῶν. ἡ σὺ Κύριε ῥῦσαι ἡμᾶς, ὁ σῴζων τὺς ἐλπίζοντας ἐπὶ σε. ἵνα ἐφ' ἡμῖν ἐκεῖνος ἀλγήσῃ, ἡ σὺ δοξασθῇς ἐφ' ἡμῖν Κύριε ὁ Θεὸς ἡμῶν.

Εὐχὴ ΙΖ'. Ἔτι περὶ τῶν εὐεργεσιῶν τῦ Θεῦ.

Ἐγὼ δὲ ὁ υἱὸς τῆς παιδίσκης σε, ἣ με τῇ χειρί σε παρέθετο, δι' εὐτελῶς ἐξομολογήσεως, ἐξομολογήσομαί σοι, ῥῦξά μῦ, ὅλῃ μῦ τῇ καρδίᾳ, ἡ ἀναπολήσω τῇ διανοίᾳ μῦ, ὅσα μοι πεποίηκας ἀγαθὰ παρὰ πᾶσάν μῦ τὴν ζωὴν ἐκ νεότητός μῦ. οἶδα γὰρ ὡς ὄκ ἀρέσκει σοι ἡ ἀχαριςία, ἣ παντὸς κακῦ ἐςὶ ῥίζα, ἡ ἄνεμός τις ξηραίνων, ἡ καλῶν πᾶν ἀγαθόν. ἐμφράττων τὴν πηγὴν τῆς εἰς τὸν ἄνθρωπον θείας Φιλανθρωπίας, ἣ ἡ τὰ ἤδη τεθνηκότα κακὰ, ἀναθάλλει, ἡ τὰ ζῶντα ἀγαθὰ ἀποθνήσκει, ἡ περαιτέρω ὃ πρόεισιν. εὐχαριςήσω σοι τοίνυν χἀγώ. ἵνα μὴ ἀχάριςος εἴην σοι, λυτρωσαμένῳ με λυτρωτά· ποσάκις με κατέπιον ἤδη ὁ δράκων ἐκεῖνος, ἡ σὺ τῦ σόματος αὐτῦ με ἐξεῖλκυσας. ποσάκις ἥμαρτον, χἀκεῖνος ἕτοιμος ἦν με καταπιεῖν. ἀλλὰ σὺ ὑπερήσπισας. ὅτε ἠνόμῦν. ὅτε τὰς σὰς παρέβαινον ἐντολὰς, ἕτοιμος ἴσατο, τῦ ἁρπάσαι με εἰς τὸν ᾅδην. ἀλλ' αὐτὸς ἐκώλυες. ἐγώ σοι προσέκρυον, αὐτὸς δὲ ἐξεδίκεις. ὄχ ἐΦοβήμην σε ἡ σύ με ἐΦύλαττες. ἐγώ σε ἀπεδίδρασκον. ἐχθρωδῶς διεκείμην σὺ δ' αὐτὸν ἐΦόβεις ὥςε μὴ συλλαβεῖν με. ταύτας μοι τὰς εὐεργεσίας Κύριε ὁ Θεός μῦ παρεῖχες, χἀγὼ ὄκ ἐπεγίνωσκον. ὕτω με πολλάκις ἐκ τῦ Φάρυγγος τῦ διαβόλῦ, ἡ τῦ σόματος τῶν λεόντων ἐῤῥύσω, ἡ τῦ ᾅδῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ᾅδου με ἀγνοοῦντα πολλάκις ἀνήγαγες. κατέβην γὰρ μέχρι τῶν τοῦ ᾅδου πυλῶν, καὶ σύ με ἐκράτησας μὴ εἰσελθεῖν εἰς ἐκεῖνον. ταῖς πύλαις ἤγγυσα τὸν θανάτου. καὶ μὴ κατασχεθῆναι ὑπ' ἐκείνου σὺ πεποίηκας. πολλάκις με καὶ τῷ σωματικῷ θανάτῳ ἐρρύσω, μεγάλων νόσων κατεχουσῶν ἐν πολλοῖς κινδύνοις γινόμενον, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, ἐκ πυρὸς καὶ ξίφους, καὶ παντὸς δυσχεροῦς ἠλευθέρωσας. ἀεί μοι παρεστάμενος, καὶ φιλανθρώπως σῴζων. ἤδεις γὰρ Κύριε, ὡς εἰ τότε με θάνατος προκατελαβεν, ᾅδης ἂν ἐδέξατο τὴν ἐμὴν ψυχήν. καὶ αἰωνίως ἂν ἦν μετὰ τῶν καταδίκων. ἀλλ' ἡ φιλανθρωπία σου, καὶ ἡ χάρις σου προέφθασάν με, ἐλευθερῶσαί με τοῦ θανάτου τῆς ψυχῆς, καὶ τοῦ σώματος Κύριε ὁ Θεός μου. Ταύτας μοι καὶ ἄλλας πολλὰς εὐεργεσίας παρέσχες. κἀγὼ τυφλὸς ἦν καὶ οὐκ ἔγνων, ἕως οὗ με ἐφώτισας. Νῦν δὲ. Φῶς τῆς ψυχῆς μου Κύριε ὁ Θεός μου. ζωή μου. καὶ φῶς τῶν ὀφθαλμῶν μου, δι' οὗ βλέπω. ἐφώτισάς με, καὶ ἔγνων σε, ὅτι ζῶ διὰ σοῦ. καὶ χάριτας οἶδά σοι, εἰ καὶ εὐτελεῖς. καὶ ἐξιτήλους, καὶ ἀνίσους ταῖς εὐεργεσίαις ταῖς σαῖς ἃς μέντοι τὸ ἐμὸν ἀσθενὲς δύναται, τοιαύτας προσφέρω· ὅτι σὺ εἶ μόνος Θεός μου, δημιουργὸς ἐμός, εὐμενής, ἀγαπῶν τὴν ψυχήν μου. οὐδὲν γὰρ ὃ πεποίηκας μισεῖς. κἀγὼ πρῶτος τῶν ἁμαρτωλῶν ὢν, οὓς ἔσωσας· ἵνα παράδειγμα δῷ τοῖς ἄλλοις τῆς σῆς χρηστότητος εὐσπλαγχνίας. ἐξομολογήσομαι τὰς μεγάλας εὐεργεσίας σου· ὅτι ἐρρύσω με ἐξ ᾅδου ἅπαξ καὶ δὶς, καὶ τρὶς, καὶ ἑκατοντάκις καὶ μυριάκις. κἀγὼ ἀεὶ πρὸς τὸν ᾅδην ἠπειγόμην, καὶ μυριάκις δικαίως ἂν με κατεδίκασας, εἴπερ ἐβούλου. οὐκ ἠθέλησας, ὅτι τὰς ψυχὰς ἀγαπᾷς καὶ ἠνείχου διὰ τὴν σὴν φιλανθρωπίαν τῶν ἐμῶν ἁμαρτιῶν. Κύριε ὁ Θεός μου. ὁ ἐλεήμων ἐν πάσαις ταῖς ὁδοῖς σου. νῦν τοίνυν ταῦτα ὁρῶ Κύριε ὁ Θεός μου. καὶ τῷ φωτί σου γινώσκω. καὶ ἡ ψυχή μου ἐκλείπει εἰς τὸ ἔλεός σου τὸ μέγα τὸ ὑπὲρ ἐμέ· ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. καὶ πρὸς ζωὴν με ἀνήγαγες. ὅλος ἦν ἐν τῷ θανάτῳ ὅλον με ἀνέσησας· ἵνα τοίνυν ὅλον, ὃ ζῶ, σὸν ᾖ, ὅλος ὅλον ἐμαυτόν σοι προσφέρω ὅλον τὸ πνεῦμα, ὅλην τὴν καρδίαν. ὅλην μου τὴν ζωὴν σοὶ ζῶ ἡ ζωή μου. ὅλον γάρ με ἠλευθέρωσας· ἵνα με ὅλον κτίσῃ. ὅλον με ἀνέπλασας· ἵν' ὅλον με ἀπολάβῃς.

Σοφ'. ιά. 25.

Εὐχὴ

Εὐχὴὴ ΙΗ'. Πόσον ὀφείλει ὁ ἄνθρωπος ἀγαπᾶν τὸν Θεόν.

Ψαλμ. ιξ'. ι. „ Ἀγαπήσω σε τοίνυν, Κύριε ὁ Θεός μου, ἀγαπήσω σε τὴν ἀῤῥήτον μου χαρὰν, ἣ ζήσεται ἤδη οὐκ ἐμοὶ, ἀλλὰ σοὶ, πᾶσά μου ἡ ζωὴ, ἥτις ἀπώλετο ἐν τῇ ἀθλιότητι. ἥτις ἀνέξη τῇ φιλανθρωπίᾳ σου. ὁ Θεὸς ὁ ἐλεήμων, καὶ πολυέλεος εἰς χιλίας γενεὰς τοῖς ἀγαπῶσι τὸ ὄνομά

Δευτερ. ς'. ς. „ σου. διὰ τοῦτο Κύριε ὁ Θεός μου ἐνετείλω μοι σῷ προσάγματι, ἀγα-„ πᾶν σε ὅλῃ μου τῇ καρδίᾳ, ὅλῃ μου τῇ ψυχῇ, ὅλῃ μου τῇ διανοίᾳ, „ ὅλῃ μου τῇ ἰσχύϊ, ὅλαις μου ταῖς δυνάμεσι, καὶ τοῖς κρυφίοις τῆς ἐ-μῆς καρδίας, πάσαις ὥραις τε, καὶ ἐν παντὶ ἀκαριαίῳ, ἐν οἷς ἀπολαύω τῶν ἀγαθῶν τοῦ ἐλέους σου. ἀεὶ γὰρ ἂν ἀπολώλειν, εἰ μή με ἀεὶ ἀνεῖ-χες. ἀεὶ ἂν ἐτεθνήκειν, εἰ μή με ἐζωοποίεις ἀεὶ, καὶ ἐν παντί με συ-νεῖχες ἀκαριαίῳ. ἐν παντὶ τόπῳ παρέχων μοι τὰς σὰς μεγάλας εὐ-εργεσίας. ὥσπερ γὰρ ἀδεμία ἐστὶν ὥρα, ἡ σιγμὴ ἐν πάσῃ μου τῇ ζωῇ, ἐν ᾗ τοῖς σοῖς δώροις ὁ χρῶμαι· ἔτως ἐν ἀδεμιᾷ σιγμῇ χρόνε δίκαιον μὴ ἔχειν με σὲ πρὸ τῶν ὀφθαλμῶν ἐν τῇ ἐμῇ μνήμῃ, καὶ μὴ ἀγαπᾶν σε ἐξ ὅλης μου τῆς ἰσχύος· ἀλλ' οὐδὲ τοῦτό μοι δυνατὸν, εἰ μή μοι τῦ-

Ἰακ. ά. ιζ. „ το δοίης ὦ Κύριε, παρ' ᾧ πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλει-„ ον, ἄνωθεν καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν Φώτων, παρ' ᾧ οὐκ ἔ-„ στι παραλλαγή. ὁ γάρ ἐστι τοῦ τρέχοντος, οὐδὲ τοῦ διώκοντος, ἀλλὰ

Ῥωμ. θ'. ιθ. „ σοῦ τοῦ ἐλεῶντος Θεοῦ· ἵνα σὲ ἀγαπῶμεν. σόν ἐστι τοῦτο τὸ δῶρον Κύ-ριε, ὃ ἐστι πᾶν ἀγαθόν. κελεύεις σὲ ἀγαπᾶσθαι. δὸς ὃ κελεύεις, καὶ πρόσαξον, ὃ βέλει.

Σ Τ Α Σ Ι Σ ς'.

Εὐχὴ ΙΘ'. Ἔτι περὶ τῆς ζέσεως τῆς εἰς Θεὸν ἀγάπης.

Ὦ Πῦρ, ἀεὶ μὲν καῖον, μηδέποτε δὲ σβεννύμενον. ὦ ἀγάπη, ἀεὶ μὲν ζέουσα, μηδέποτε δὲ χλιαινομένη, ἀνάψόν με. ἀ-ναφθείην ὅλος ἐκ σοῦ, ἵν' ὅλος σὲ μόνον ἀγαπῴην. ὁ γὰρ μετ' ἄλλε σέ τινος ἀγαπῶν, ἧττόν σε ἀγαπᾷ. ἀγαπήσω μί σε, ὅτι σύ με πρότερος ἠγάπησας. καὶ πόθεν λόγος, ὥστε διεξελθεῖν τὰ σημεῖα τῆς σῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς σῆς ἀγάπης ; μέγισα γὰρ περὶ ἐμὲ ταῦτα, ταῖς σαῖς εὐεργεσίαις ταῖς ἀναριθμήτοις, αἷς με προήγαγες ἐξ ἀρχῆς. μετὰ γὰρ τὴν τῆς δημιεργίας εὐεργεσίαν. ὅτι ἀπ' ἀρχῆς ἐκ τῦ μηδενὸς κατ' εἰκόνα σὴν ἢ ὁμοίωσιν ἔκτισας, τιμήσας με, ἢ ὑψώσας ὑπὲρ τοῖς ὑπὸ σῦ γενομένοις κτίσμασι, ἢ περίβλεπτον κατασήσας, τὸ Φῶς τῦ προσώπυ συ, ἐν τῷ Φωτὶ τῆς καρδίας μυ ἐσημείωσας. ᾧ με τῶν ὁρατῶν ὁμῦ ἢ ἀορά-
„ των κτισμάτων διέκρινας, ἢ παρὰ βραχὺ τῶν ἀγγέλων ἠλάττω- Ψαλμ.
„ σας. ὀλίγον τῦτο ἐνώπιον τῆς σῆς ἀγαθοτητος ἔδοξεν, ὅτι με καθ' ἡμέραν ἰδιωτάτοις ἢ μεγίσοις δώροις συνεχῶς ἔτρεφες. ἢ ὥσπερ υἱὸν νήπιον ἢ ἁπαλὸν τοῖς μαζοῖς τῆς σῆς παρακλήσεως ἐγαλακτοτρο- ἡ. 5.
Φησας, ἢ ἐνεδυνάμωσας. ἀλλ' ἵνα ὅλος σοὶ δελεύω. πάντα ὅσα ἐποί-
ησας, εἰς ἐμὴν δελείαν παρέδωκας.

Εὐχὴ Κ'. Ὅτι ὁ Θεὸς πάντα τῇ τῶν ἀνθρώπων δελείᾳ ὑπέταξε.

ΠΑντα ὑπὸ τὰς πόδας τῶν ἀνθρώπων ὑπέταξας· ἵν' ὑποταγῇ σοὶ Ψαλμ.
μονος ὁ ἄνθρωπος, ἢ ὅλος ἢ σός. τὰ μὲν γὰρ ἔξωθεν, διὰ τὸ σῶ ἡ. 9.
μα ἐδημιέργησας. αὐτὸ δὲ τὸ σωμα, διὰ τὴν ψυχήν. τὴν δὲ ψυχὴν, διὰ σέ. ἵνα σοι μόνῳ σχολάζῃ. ἵνα σὲ μόνον ἀγαπᾷ. σὲ μὲν, εἰς παράκλησιν κεκτημενη τὰ δὲ ταπεινότερα, εἰς δελείαν. ὅπερ γὰρ ἐν τῷ γύρῳ τῦ ὀρανῦ περιέχεται, κατωτερον ἐστι τῆς ἀνθρωπίνης ψυχῆς ἵνα τὸ ἀκρον ἀγαθὸν κτήσηται ἢ τῇ κτήσει, μακαρία ἂν ἐγενετο. ᾧ εἰ προσκολληθειη, ὑπεραναβασα πασων τῶν ὑποκατωθεν μεταβολῶν τὰς ἀναγκας. χαρήσεται τῇ ἀϊδίῳ λαμπρότητι τῦ ἀθανάτυ αἰῶνος, καὶ εἰνης τῆς ἀκρας μεγαλειότητος, ἧς τὸ εἶδος μιμεῖται τότε δὲ ἐν τῷ οἴκῳ τῦ Κυρίυ τῶν ἀρίστων ἀγαθῶν ἀπολαύσει. ὧν τῇ παραθέσει πάντα τὰ ἐνταῦθα ὁρώμενα, ὥσπερ ἐδὲν εὑρίσκον-
ται· ἐκεῖνα δηλονότι ἃ ὀΦθαλμὸς ὐκ εἶδε, ἢ ἓς ὐκ ἤκυσε, ἢ ἐπὶ καρδίαν ἀνθρώπυ ὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶ- ἀ Κορ. β'. 9.
„ σιν αὐτόν (3) Ταῦτα Κύριε τῇ ψυχῇ δώσεις. τέτοις τῶν δήλων συ τὰς

(3) Σημείωσαι ὅτι τὸ ῥητὸν τῦτο ἠρανίσθη τῷ Ἀποστόλῳ ἐκ τῶν ἀποκρύφων τῦ Προφήτυ Ἠλιᾶ, τῶν ἤδη μὴ σωζομένων, κατὰ τὸν κριτικώτατον Φωτι-

σε τὰς ψυχὰς καθ' ἡμέραν εὐφραίνεις, ὡς ἂν αὐτὰς ἀγαπῶν. ἢ τί τοῦτο θαυμάζω. Κύριε ὁ Θεός μου; τὴν γὰρ σὴν εἰκόνα τιμᾷς· τὴν σὴν ὁμοίωσιν, καθ' ἣν ἐκτίσθησαν. καὶ γὰρ τῷ ἡμετέρῳ σώματι, εἰ μὴ ἔτι ἀτιμόν ἐστι καὶ φθαρτὸν, τὴν τοῦ οὐρανοῦ λαμπρότητα δέδωκας βλέπειν. διὰ τῶν ἀκοιμήτων σου διακόνων, τοῦ ἡλίου καὶ τῆς σελήνης, οἵτινες ὁμοῦ τῷ σῷ προστάγματι, ἡμέρας τε καὶ νυκτὸς, δουλεύουσι τοῖς ἰδίοις σου. πρὸς ἀναπνοὴν, τὴν τοῦ ἀέρος δέδωκας καθαρότητα. τὰς διαφορὰς τῶν ψόφων πρὸς ἀκοήν. πρὸς ὄσφρησιν τὰς τῶν ὀσμῶν ἡδονάς. πρὸς γεῦσιν, τῶν χυμῶν τὰς ποιότητας. πρὸς τὸ ψηλαφᾶν, τὰς τῶν σωμάτων παχύτητας. τὰ κτήνη δέδωκας βοηθήματα τοῖς τούτων ἀνάγκαις. τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ τοὺς καρποὺς τῆς γῆς δέδωκας, πρὸς τὸ ἀνακτᾶσθαι τὸ σῶμα. φάρμακα πάσης αὐτῶν νόσου πεποίηκας. πᾶσι δυσχερέσι καταλλήλους παραμυθίας ἡτοίμασας. ὅτι ἐλεήμων εἶ καὶ φιλάνθρωπος.

Σειρ. λγ'. 14. „ καὶ ἔγνως τὸ πλάσμα ἡμῶν ὁ ἡμέτερος κεραμεύς· καὶ ἡμεῖς πάντες „ ὥσπερ πηλὸς ἐν τῇ χειρί σου.

Εὐχὴ ΚΑ'. Ὅτι ἐκ τοῦ κατανοεῖν τὰ πρόσκαιρα ταῦτα ἀγαθὰ, ἐπίσταταί τις τὸ μέγεθος τῶν οὐρανίων ἀγαθῶν.

Ἵνα μοι τὸ ἔλεός σου διανοιγῇ, φώτισον, δέομαι, τῷ φωτί σου, καὶ ἔτι μᾶλλον, ὅπως μοι μᾶλλον διανοιγῇ. ἐκ γὰρ τούτων τῶν ἐλαχίστων, τὰ μεγάλα σου· καὶ ἐκ τούτων τῶν ὁρατῶν τὰ ἀόρατά σου καταμανθάνομεν. Κύριε ὁ Θεὸς, ὁ ἅγιος, καὶ ἀγαθὸς, καὶ δημιουργὸς ἡμῶν. εἰ γὰρ ὑπὲρ τοῦ ἀτίμου, καὶ φθαρτοῦ τούτου σώματος, οὕτω μεγάλας καὶ ἀναριθμήτους εὐεργεσίας παρέχεις, διὰ τοῦ οὐρανοῦ, καὶ τοῦ ἀέρος, καὶ τῆς γῆς, καὶ τῆς θαλάσσης, καὶ τοῦ φωτὸς, τοῦ σκότους, τῆς θέρμης, τῆς σκιᾶς, τῆς δρόσου, τῶν ὄμβρων, τοῦ ἀνέμου, τῶν ὑετῶν, τῶν πετεινῶν, τῶν ἰχθύων, τῶν θηρίων, τῶν δένδρων, τῆς τῶν βοτάνων ποικι-

---

Φώτιον. ὡ οἷς γράφει πρὸς Ἀμφιλόχιον. λέγει γὰρ ὁ θεῖος Ἀπόστολος περὶ τούτου, ἀλλὰ καθὼς γέγραπται. ἐδαμοῦ δὲ τῆς γραφῆς ἔτως αὐτολεξεὶ κείμενον εὕρηται τὸ ῥητόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποικιλίας, ἢ τῶν βλασημάτων τῆς γῆς, ἢ ὅλως σε τῶν κτισμάτων τῆς διακονίας, κατὰ καιρὸς αὐτῶν ἐκ διαδοχῆς ὑπηρετούντων ἡμῖν, τὰς ἡμετέρας ἀηδίας ἀνακαφίζεις· ποῖα, ἆρα, ἢ ὅπως μεγάλα, ἢ ἀναρίθμητα ἔσονται, ἃ τοῖς ἀγαπῶσί σε ἡτοίμασας ἀγαθὰ ἐν ἐκείνῃ τῇ ὑρανίῳ πατρίδι; ὅπου σὲ ὀψόμεθα πρόσωπον πρὸς πρόσωπον; εἰ τοσαῦτα ἡμῖν ὂν τῷ δεσμωτηρίῳ ποιεῖς, τί ἐν τοῖς βασιλείοις ποιήσεις; μεγάλα ἢ θαυμαστά εἰσι τὰ ἔργα σε βασιλεῦ τῶν αἰώνων! εἰ ἢ ταῦτα λίαν εἰσὶ καλὰ, ἢ ἡδέα, ἅπερ ὁμοίως κοινὰ δέδωκας πονηροῖς τε ἢ ἀγαθοῖς· ποῖα τὰ μέλλοντα ἔσονται, ἃ μόνοις τοῖς ἀγαθοῖς παρεσκεύασας; εἰ ὅτως ἀναρίθμητα τὰ δῶρά σε, ἢ ποικίλα, ἃ νῦν ὁμοίως φίλοις τε ἢ ἐχθροῖς διανέμεις. πῶς μεγάλα; πῶς θαυμαστά; πῶς γλυκέα τε ἢ ἡδέα; πῶς ἄῤῥητα, ἃ μόνοις τοῖς φίλοις σε χαριῇ; εἰ ἐν ταύτῃ τῇ τῶν δακρύων ἡμέρᾳ τοσαύτας αἰνέσεις· πόσας παρέξεις ἐν τῇ τῶν γάμων ἡμέρᾳ; εἰ τοσαύτα ἡδέα τὸ δεσμωτήριον περιέχει· πόσα ἡ πατρὶς περιέξει; ὀφθαλμὸς οὐκ εἶδε, πλὴν »σὲ, ἅπερ ἡτοίμασας τοῖς ἀγαπῶσί σε. κατὰ γὰρ τὸ πλῆθος τῆς »μεγαλειότητός σε, ἔσι ἢ τὸ πλῆθος τῆς σῆς χρηστότητος, ἣν ἔκρυ»ψας τοῖς Φοβεμένοις σε. μέγας εἶ Κύριε περὶ τὰς σὰς, ἢ ἀμέτρητος, ἢ οὐκ ἔσι τῆς σῆς μεγαλειότητος τέλος· ὅτε μέτρον τῆς σοφίας σε· ὅτε πέρας τῆς ἀγαθότητός σε· ὅτε τέλος, ἢ μέτρον, ἢ ἀριθμὸς τῆς σῆς διανομῆς. ἀλλ' ὥσπερ σὺ μέγας εἶ, μεγάλα εἰσὶ ἢ τὰ δῶρά σε, ὅτι αὐτὸς σὺ εἶ ἆθλον, ἢ δῶρον τῶν ὑπὲρ σὲ νομίμως ἀθλούντων. Ψαλμ. λ'. 19.

ΣΤΑΣΙΣ Ζ'.

Εὐχὴ ΚΒ'. Ὅτι ἡ θεία γλυκύτης πᾶσαν παρῆσαν πικρίαν ἀναιρεῖ.

Γ ταί εἰσιν αἱ ὑπερμεγεθεις σε εὐεργεσίαι, Κύριε ὁ Θεὸς, ὁ ἀγιάζων τὰς ἀγίας σε, αἷς ἐμπλήσεις τὴν ἔνδειαν τῶν πεινώντων τέκνων σε· ὅτι ἐγένε τοῖς ἀπηλπισμένοις ἐλπὶς, ἢ τοῖς ἀπαραμυθήτοις παράκλησις. σὺ ςέφανος ἐλπίδος, δόξῃ κε-

ξη κεκοσμημένος, τοῖς νικῶσιν ἡτοιμασμένος. σὺ πλησμονὴ τῶν λιμωττόντων αἰώνιος, τοῖς πεινῶσι δοθησομένη. σὺ παράκλησις ἀΐδιος, ἣν μόνοις ἐκείνοις δίδως τοῖς τῆς παρακλήσεως τῦ κόσμυ τύτυ καταφρονῆσιν, ὑπὲρ τῆς αἰωνίυ παρακλήσεως. οἱ γὰρ ἐνταῦθα παρακαλέμενοι, ἀνάξιοί εἰσι τῆς σῆς παρακλήσεως. οἱ δὲ ἐνταῦθα βασανιζόμενοι, ὑπὸ σῦ παρακληθήσονται, ἢ οἱ συμπασχοντες, μετοχοὶ ἢ τῶν παρακλήσεων. ὐδένα δυνατὸν ἐν ἑκατέρῳ τῷ αἰωνι παρακαλεισθαι, ὅτε τις δύναται κἀνταῦθα, ἢ ἐν τῷ μέλλοντι χαίρειν. ἀλλ' ἀνάγκη τὴν ἑτέραν τῶν παρακλήσεων ἀπολεσαι, τὸν τὴν ἑτεραν βελόμενον κτήσασθαι. τῦτο, ὅπυ ἂν κατανοήσω Κύριε ὁ παρακαλῶν με, ἀνανεύω ἐνταῦθα παρακληθῆναι τὴν ψυχήν μυ· ἵν ἀξία τῶν αἰωνίων συ παρακλήσεων γένηται. δίκαιον γὰρ ἐρεῖσθαι σε τὸν ἑτερῳ τινὶ, πλὴν σῦ παρακαλεῖσθαι μᾶλλον αἱρέμενον. ἢ ἱκετεύω σε ἀκρα ἀλήθεια ἵνα μὴ συγχωρήσῃς με ἄλλῃ τινὶ παρακλήσει ματαίᾳ παρακαλεισθαι πλὴν σῦ. παντων δὲ δεομαι πειρασθαι πικρων ἵνα μοι σὺ μόνος γλυκὺς εἶναι δοκῇς, ὃς εἰ γλυκύτης ἄῤῥητος, οἱ ὃ ἢ τὰ πικρὰ πᾶντα γλυκαίνονται. ἡ σὴ γὰρ γλυκύτης τῷ Στεφανῳ τὰς φρικώδεις λίθυς ἐγλύκανεν. ἡ σὴ γλυκύτης τῷ Λαυρεντιῳ, γλυκεῖαν τὴν ἐσχάραν ἐποίησεν. ὑπὲρ τῆς σῆς γλυκύτητος ὑπεσρεφον οἱ Πράξ. ε. 41. »Ἀπόστολοι χαίροντες ἀπὸ προσώπυ τῦ συνεδριυ, ὅτι ἠξιώθησαν ὑπὲρ τῦ ὀνόματός συ ἀτιμασθῆναι. ὁ Ἀνδρέας ἐπὶ τὸν σαυρὸν επυρεύετο μετὰ ἀσφαλείας, ἢ χαρᾶς ὅτι πρὸς τὴν σὴν γλυκυτητα απεδήμει. αὕτη ἡ σὴ γλυκύτης, ὥτως ἐνέπλησεν αὐτὸς τὸς κορυφαίυς τῶν Ἀποστόλων, ὥσε ὑπὲρ αὐτῆς, τὸν μὲν ἕνα, σαυρὸν ἑλεσθαι, τὸν δὲ ἕτερον, μὴ δειλιάσαντα τῷ ἀπηνεῖ σιδήρῳ τὴν ἑαυτῦ κεφαλὴν ὑποθεῖναι. ὑπὲρ τῦ πρίασθαι ταύτην Βαρθολομαιος τὴν ἑαυτῦ δορὰν δέδωκεν. ὑπὲρ τῦ γεύσασθαι ταύτης, δηλητηρίυ ποτηριον Ἰωάννης ἀτρόμως ἐξεπιε. Ταύτης Πέτρος γευσαμενος, ἢ τῶν ταπεινῶν τύτων ἐπιλαθόμενος, ὡς ἂν μεθυσθεὶς ἐκραξε, »Κύριε καλὸν ἐσ- Ματθ. ις'. 4. »τιν ἡμας ὧδε εἶναι· ποιήσωμεν ἐνταῦθα τρεις σκηνας· ἀποθανώμαι ἐνταῦθα, σὲ θεωρῶντες· ὐδενὸς γὰρ ἔτερυ δεόμεθα· ἀρκεῖ γὰρ ἡμῖν σὲ βλέπειν. ἀρκεῖ τοιαύτης γλυκύτητος ἐμπιπλασθαι, μιᾶς σαγό-

σαγόνος γλυκύτητος ἔτος ἐγεύσατο, ἡ ἀηδῶς ἔσχε πρὸς πᾶσαν ἄλλην γλυκύτητα. τί ἂν εἶπον, εἰ ὅλης ἐκείνης τῆς σῆς γλυκύτητος ἐγεύσατο, ἧς ἔκρυψας τοῖς Φοβεμένοις σε; Ταύτης τῆς ἀῤῥήτου γλυκύτητος καὶ ἐκείνη ἡ παρθένος ἐγεύσατο, περὶ ἧς ἀναγινώσκομεν, ὅτι χαίρουσα λίαν, ἡ μετὰ φρονήματος ἀπῄει πρὸς τὸ δεσμωτήριον, ὡς πρὸς συμπόσιον κεκλημένη. Ταύτης μοι δοκεῖ καὶ ἐκεῖνος ἐγεύσατο ὁ εἰπὼν „ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, ἧς ἔ- Ψαλμ. „κρυψας τοῖς Φοβεμένοις σε. ὃς παρῆνει γεύσασθαι ἡ ἰδεῖν, ὅτι λ'. 19. „χρηστὸς ὁ Κύριος. αὕτη ἐστὶν ἡ μακαριότης Κύριε ὁ Θεός μου, ἣν ἐλπίζομέν σε δώσειν ἡμῖν, ὑπὲρ ἧς Κύριε καθ' ἡμέραν σοὶ στρατευόμεθα. ὑπὲρ ἧς ἀποθνήσκομεν ὅλην τὴν ἡμέραν, ὥστε σοὶ, ἡ τῇ σῇ ζωῇ ζῆσαι.

Εὐχὴ ΚΓ'. Ὅτι ὅλη ἡ ἡμετέρα ἐλπὶς, ἡ ἐπιθυμία, πρὸς τὸν Θεὸν ἀεὶ εἶναι ὀφείλει.

Σὺ δὲ Κύριε ἡ προσδοκία τοῦ Ἰσραήλ· ἐφετὸν ἐφ' ὃ καθ' ἡμέραν ἀναπνεῖ ἡ ἡμετέρα καρδία. σπεῦσον, μὴ βραδύνῃς· ἀνάσπαθι· ἐπείχθητι· ἵνα τῷ δεσμωτηρίῳ τούτῳ ἐξαγάγῃς ἡμᾶς, τῷ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Ἄνοιξον τὰ ὠτά σου ταῖς κραυγαῖς τῶν δακρύων τῶν τέκνων σου τῶν βοώντων πρὸς σέ. „Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, δί- Λυκ. „δου ἡμῖν τὸν ἄρτον ἡμῶν τὸ καθ' ἡμέραν, ἵνα τῇ τούτου ἰσχύϊ πορευθῶμεν ἡμέρας ἡ νυκτὸς, μέχρις ἂ Φθάσωμεν εἰς τὸ ὄρος σου Χωρὴβ, κἀγὼ ὁ μικρότατος τῶν ἐν τῇ οἰκίᾳ σου νηπίων. Θεὲ Πάτερ ἡ ἰσχύς μου, πότε ἥξω ἡ ὀφθήσομαι τῷ προσώπῳ σου; ἵν', ἐγὼ ὁ νῦν σοι πρὸς καιρὸν ἐξομολογούμενος, ἐξ ἐκείνου ἐξομολογήσωμαι εἰς τὸν αἰῶνα; μακάριος ἔσομαι, εἰ γένωμαι ἐν τῷ τὴν σὴν δόξαν ὁρᾶν. τίς δοίη μοι τοῦτο, ἵνα τοῦτό μοι συγχωρήσῃς; οἶδα Κύριε οἶδα, ἡ ὁμολογῶ, ἀνάξιόν με ὄντα ὑπὸ τὸ στέγος σου εἰσελθεῖν. ἀλλὰ ποίησον τοῦτο ἕνεκεν τῆς δόξης σου· ἵνα μὴ τὸν ἐπὶ σὲ ἠλπικότα καταισχύνῃς δοῦλόν σου. ἡ τίς εἰσελεύσεται εἰς τὸ ἁγιαστήριόν σου, πρὸς τὸ τὰς δυνασείας σου ἐξομολογεῖσθαι, εἰ μὴ αὐτὸς ἀνοίξῃς; τίς δὲ ἀνοίξει εἰ σὺ κλείσῃς; εἰ γὰρ καθέλῃς, τίς οἰκοδομήσει; ἡ ἐὰν κλείσῃς, ἀνθρώπων ὑ-

πων ὐδεὶς ὁ ἀνοίγων. ἐὰν ἐπίσχῃς τὰ ὕδατα, ξηρανθήσεται πάντα· ἐὰν ἐξαγάγῃς αὐτὰ, κατακλύσουσι τὴν γῆν. εἰ πάντα ὅσα ἐποίησας, βεβουλημένος πρὸς τὸ μηδὲν ὑποξερέψαι, τίς ἀντερεῖ σοι; πλὴν ἀΐδιος ἡ ἀγαθότης τῦ ἐλέους σε, ἧ τεθέληκας, ἢ πεποίηκας πάντα, ὅσα ἠθέλησας. σὺ Κύριε, πεποίηκας ἡμᾶς. ὁ τεκτηναμενος τὸν κόσμον, ἡγῦ ἡμῶν. σὺ ἡμᾶς ἔπλασας, μὴ παρίδῃς ἡμᾶς, ὅτι ἔργα σε ἐσμέν. ἀλλὰ πῶς Κύριε ὁ Θεὸς, ἡμεῖς ὁ πηλὸς ἢ οἱ σκώληκες δυνησομεθα εἰς τὰς σὰς ἀϊδιότητας εἰσελθειν, εἰ μὴ σὺ ἡμᾶς εἰσαγάγῃς; ὃς ἐκ τῦ μηδενὸς πάντα πεποίηκας;

Εὐχὴ ΚΔ'. Ὅτι ἐκ τῦ Θεῦ ἐστὶν ἡ σωτηρία ἡμῶν.

Ἐγὼ δὲ τὸ ἔργον τῶν χειρῶν σε, ἐξομολογήσομαί σοι ἐν Φόβῳ σε.
ψλ. μγ'. ϛ. 8. » ὁ γὰρ ἐλπιῶ ἐπὶ τῷ τόξῳ με· ἢ ἡ ῥομφαία με ὁ σώσει με· ἀλλ'
» ἡ δεξιά σε, ἢ ὁ βραχίων σε, ἢ ὁ Φωτισμὸς τῦ προσωπε σε· εἰ δὲ
» μὴ, ἀπειρήκειν ἄν· ὅτι σὺ εἶ ἡ ἐλπίς με ὁ κτίσας με· ὅτι σὺ ὁ
καταλιμπάνεις με, ὁ μὴ καταλιμπάνων τὺς ἐλπιζοντας ἐπὶ σέ. σὺ
γὰρ εἶ Θεὸς ἡμῶν, χρηστὸς, ἢ ἐλεήμων, ἢ συμπαθὴς, ἢ ὁν ἐλεεῖ
πάντα διατεθεὶς, ἢ ἡμεῖς, εἰ ἢ ἡμαρτομεν, ἀλλα σοί ἐσμεν, ἢ εἰ μὴ
ἡμάρτομεν, οἴδαμεν ὅτι παρὰ σοὶ ἐσμεν, ἡμεῖς Φύλλον ἀπαξαπαν-
ψαλμ. λή. 4. » τες ἢ ματαιότης πᾶς ἄνθρωπος ζῶν, ἢ ἀνεμός ἐστιν ἐπὶ τῆς γῆς
ἡ ζωὴ ἡμῶν. μὴ ὀργισθῇς, εἰ πίπτομεν. σὺ γὰρ οἶδας τὸ πλασμα
ἡμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, μὴ μετὰ Φύλλε ὑπὸ ἀνέμε ἁρπαζομενε
ά Βασιλ· κδ'. 15. » βάλει τὴν ἀδιήγητόν σε ἰσχὺν ἐπιδείξασθαι; ἢ ξηρὸν συπφειον διω-
» κειν; μὴ καταψηφιῇ βασιλεῦ τῦ Ἰσραὴλ, κυνὸς ἑνὸς, ἢ ψύλλης
» μιᾶς; Ἀκηκόαμεν Κύριε περὶ τῦ ἐλέους σε, ὅτι σὺ θάνατον ὁ πε-
Σοφ. ά. 13. » ποίηκας. ὐδὲ χαίρεις ἐπ' ἀπωλείᾳ ἀποθνησκόντων δεόμεθά σε ἕ-
νεκα σῦ· μὴ συγχωρήσῃς ὅπερ ὁ πεποίηκας ἄρχειν τῦ κτίσματος
σε. εἰ γὰρ ἀλγεῖς ἐπ' ἀπωλείᾳ Κύριε, τί σε κωλύει παντοδυναμε, μὴ
ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ χαίρειν ἀεί; εἰ θέλεις δύνασαί με σῶσαι.
ἐγὼ εἰ θελήσω ὐκ ἂν δυναίμην. τοσῦτον τὸ τῆς ἐμῆς ἀθλιότητος
Ρωμ. ϛ. 18. » μέγεθος. τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ τελειῶσαι δὲ ὐχ εὑρί-
σκω. ἀλλὰ ἢ θέλειν τὸ ἀγαθὸν ὁ δύναμαι, εἰ μὴ θέλῃς αὐτός. ἀλ-

λὰ ἢ

λὰ ἡ ὃ θέλω ὐ δύναμαι, εἰ μὴ ἡ σή με δύναμις ἐνισχύσῃ. ἀλλὰ ἡ ὃ δύναμαι, ἑτέρως ὐ βέλομαι, εἰ μὴ τὸ σὸν γένοιτο θέλημα, ὡς ἐν ὐρανῷ ἡ ἐπὶ τῆς γῆς. ἀλλὰ ἡ ὃ θέλω, ἡ δύναμαι, ἀγνοῶ, εἰ μὴ ἡ σή με σοφία φωτίσῃ. ἡ εἰ γνοίην, ἀτελὴς ἡ κενὴ παρέρχεται ἡ σοφία μὲ. ποτὲ μὲν βελομένῳ, ποτὲ δὲ μὴ βελομένῳ, εἰ μὴ παρὰ τῆς σῆς σοφίας βοηθηθείη. τῇ δὲ σῇ βελήσει πάντα ὑπόκειται, ἡ ὐκ ἔστιν ὁ ἀνθεστάμενος ταύτῃ. τῶν γὰρ ὅλων τὴν ἀρχὴν ἔχεις, ἡ πάσης σαρκός· ἡ ὅπερ ἂν θέλῃς ποιεῖς, ἐν τῷ ὐρανῷ ἡ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις ἡ ἐν πάσαις ταῖς ἀβύσσοις. ἡ ἐν ἡμῖν τοίνυν γενέσθω τὸ θέλημά σε, ὑφ' ὧν τὸ ὄνομά σε ἐπικέκληται· ἵνα μὴ ἀπώληται τὸ „ τίμιον πλάσμα σε τοῦτο, ὅπερ εἰς δόξαν σε ἔκτισας. ἡ τίς ἐστιν ἄν- Ψαλμ. „ θρωπος ἐκ γυναικὸς γεννηθείς, ὃς ζήσεται ἡ ὐκ ὄψεται θάνατον, πθ'. 48. „ ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου, εἰ μὴ αὐτὸς ῥύσῃ; ὧ ζωὴ ζωτικὴ πάσης ζωῆς, δι' ἣν πάντα ζῶσι.

ΣΤΑΣΙΣ Η'.

Εὐχὴ ΚΕ'. Ὅτι ἡ ἀνθρωπίνη θέλησις, ἄνευ χάριτος, ἀδρανής ἐστι πρὸς τὰ ἀγαθὰ ἔργα.

Κ Αὶ νῦν ἤδη ἐξομολογήσομαί σοι ὁ ἔπαινος τῆς ζωῆς μὲ. Κύριε ὁ Θεός μὲ δύναμις τῆς σωτηρίας μὲ, ἐπεποίθειν ποτὲ ἐπὶ τῇ δυνάμει μὲ· ἡ αὕτη ὐκ ἦν ἰσχύς. ἡ βελόμενος οὕτω τρέχειν, ὅπερ μᾶλλον ἐπίσευον ἐσάναι, ἐκεῖ μᾶλλον κατέπιπτον, ὀπίσω τε μᾶλλον ἐγινόμην, ἀλλ' ὐκ ἔμπροσθεν. ἡ ὐ τυγχάνειν ἐπίσευον, μᾶλλον ἐμακρύνετο ἀπ' ἐμοῦ. ἔλεγον· τοῦτο ποιήσω· ἐκεῖνο τελέσω. μετὰ δὲ ταῦτα, ὅτε τοῦτο, ὅτ' ἐκεῖνο ἐγίνετο. τὸ θέλειν παρῆν, ἀπῆν τὸ δύνασθαι. παρῆν ἡ δύναμις, ἀπῆν ἡ θέλησις, ὅτι ἐπὶ τῇ δυνάμει μὲ ἐπεποίθειν. Νῦν δὲ ἐξομολογοῦμαί σοι ὁ Θεός μὲ, Κύριε τοῦ ὐρανοῦ ἡ τῆς γῆς, ὅτι ὐκ ἐν τῇ δυνάμει αὐτοῦ κατισχύσει ἀνὴρ, ὅτε καυχήσεται ἔμπροσθέν σε ἀνόητος τόλμη πάσης σαρκός. ὅτ' ἀνθρώπῳ ἐστὶ τὸ βέλεσθαι, ὃ δύναται, ἢ δύνασθαι, ὅπερ βέλεται, ἢ ὃ βέλεται ἡ δύναται, γινώσκειν. ἀλλ' ὑπὸ σοῦ μᾶλλον αἱ τῶν ὐρανῶν

ἀρανῶν κατευθύνονται τρίβοι, ἐκείνων τῶν ἐκ ἀΦ' ἑαυτῶν, ἀλλ' ὑπὸ σῦ κατευθύνεσθαι ὁμολογέντων. δεόμεθα τοίνυν τῶν σπλάγχνων τῆ ἐλέους σε, θελήσαί σε σῶσαι ὃ ἔπλασας, ὅτι δύνασαι ἡμᾶς σῶσαι, εἰ βέλει. ἡ ἐν τῆ σῆ θελήσει ἐστὶν ἡ δύναμις τῆς σωτηρίας ἡμῶν.

Εὐχὴ Κς'. Περὶ τῶν ἀρχαίων εὐεργεσιῶν τῦ Θεῦ.

ΜΝήσθητι ἀρχαίων ἐλέους σε Κύριε, ὥπερ ἡμᾶς προέΦθασας ἐν ταῖς εὐλογίαις τῆς σῆς χρηστότητος. πρὶν γὰρ γεννηθῆναί με τὸν ἐμὸν τῆς παιδίσκης σε. Κύριε ὁ Θεὸς, ἡ ἐλπίς με ἀπὸ μαζῶν τῆς μητρός με. σύ με προέΦθασας, ἑτοιμάζων μοι ὁδὸς εἰσελθεῖν εἰς τὴν δοξαν τῦ οἴκου σε. πρίν με πλάσαι ἐν κοιλίᾳ, ἔγνως με. ἡ πρὶν ἐξελθεῖν με ἐκ μήτρας, περὶ ἐμῦ τὸ ἀρεσὸν σοι προώρισας. οἷα δέ εἰσι τὰ περὶ ἐμῦ ἐν τῷ βιβλίῳ σε γεγραμμένα, ἐν τῷ ἀποῤῥήτῳ τῆς σῆς βελῆς, ἐγὼ μὲν ἀγνοῶ· ὅθεν ἡ λίαν Φοβῦμαι. σὺ δὲ ἔγνωκας. ὃ γὰρ ἂν ἐγὼ ἐν τῆ ἡμερῶν ἡ χρόνων διαδοχῆ ἀναμένω· ἀπὸ τῦ νῦν, ἡ εἰς χίλια ἔτη γέγονεν ἐνώπιον τῆς ἀϊδιότητός σε. ἡ τὸ μέλλον, γεγονός ἐστιν ἤδη. ἐπ' ἐμὲ δὲ, ἰσάμενον ἐν τῆ νυκτὶ ταύτη τῆ σκοτεινῆ, καὶ ταῦτα ἀγνοῦντι, Φόβος ἡ τρόμος ἐπέρχεται, ὁρῶντι πανταχόθεν πολλές μοι κινδύνες ἀπειλεμένες, ἡ ὑπὸ πολλῶν ἐχθρῶν θηρευόμενον ἐμαυτόν. πλήθεί τε κακοδαιμονιῶν ἀναριθμήτων περικεχυχλόμενον ἐν ταύτη τῆ τῦ κλαυθμῶνος κοιλάδι. καίντέτοις τοῖς κακοῖς, εἰ μὴ ἡ σὴ βοήθεια ἦν, ἀπειρήκειν ἄν. ἐλπὶς δέ μοι μεγάλη ὕπεστι περὶ σῦ, πραότατε ἡγεμόνων. ἡ ἡ κατανόησις τῦ πλήθες τῶν παρὰ σοὶ ὄντων οἰκτιρμῶν, τὴν ἐμὴν ἀνακαΦίζει διάνοιαν. ἡ τὰ προλαβόντα σημεῖα τῆς σῆς ἀγαθότητος, ἅ με πρὶν γεννηθῆναι προέΦθασαν. ἡ νῦν ἰδιαίτερον ἐπελαμψαν ἐπ' ἐμὲ, κινῦσι τὴν ἐμὴν ἐλπίδα, ὅτι τὰ μέλλοντα δῶρα, ἃ τοῖς σοῖς Φίλοις τηρεῖς, βελτίω μοι ἡ τελειότερα γενήσεται παρὰ τῆς σῆς ἀγαθότητος. ὦ Κύριε ὁ Θεός με, εὐΦροσύνη ἁσία, ἣ με ἀεὶ παραλεῖς τὴν νεότητα.

Εὐχὴ ΚΖ'. Περὶ τῶν εἰς Φυλακὴν τῶν ἀνθρώπων ἀποταττομένων Ἀγγέλων.

ΗΓάπησάς με γὰρ, πρὶν ὑπ' ἐμῦ ἀγαπηθῆναί σε, ἡ κατ' εἰκόνα σὴν με

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σήν με ἐποίησας. πάντων σε τῶν κτισμάτων προέθηκάς με. ἣν ἀξίαν ποτε Φυλάσσω, ὅταν σὲ γινώσκω, δι' ὃ με πεποίηκας. ἐπὶ τούτοις ποιεῖς ἀγγέλους σε πνεύματα. οἷς ἐνετείλω Φυλάσσειν ἐν πάσαις ταῖς ὁδοῖς μου· ἵνα μὴ προσκόψω πρὸς λίθον τὸν πόδα μου. ἕτοι εἰσὶ Φύλακες ἐπὶ τὰ τείχη τῆς νέας σου Ἱερουσαλὴμ, ἣ ὄρη κύκλω αὐτῆς, ἀγρυπνοῦντες, ἢ Φυλάσσοντες Φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν „ ποίμνην σου· μήποτε ἁρπάσῃ ὡς λέων τὰς ψυχὰς ἡμῶν, μὴ ὄντος ψ. ζ'. 2. „ λυτρεμένου, ὁ ἀρχαῖος ἡμῶν ἀντίδικος. ὃς, ὥσπερ ὠρυόμενος λέων ά Πετρ. „ ζητεῖ τίνα καταπίῃ. ἕτοι εἰσὶν οἱ μακάριοι πολῖται τῆς ἄνω πόλε- έ. „ ως Ἱερουσαλὴμ, ἥτις μήτηρ ἡμῶν ἔσιν ἄνω. ἀποσελλόμενοι εἰς δι- Γαλ. δ'. „ ακονίαν διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, ὥσε αὐτοὺς ῥύεσθαι τῶν ἐχθρῶν αὐτων, ἢ Φυλασσειν ἐν πάσαις ταις ὁδοῖς αὐτων. Ἑβρ'. ἐνισχύειν τε ἢ διδασκειν, ἢ τὰς εὐχὰς τῶν ἡῶν σε προσΦερειν ἐ- ά. 14. νώπιον τῆς δόξης τῆς μεγαλειοτητός σε. ἀγαπῶσι γὰρ τοὺς πολίτας αὐτῶν, δι ὧν ἀναπληρωθῆναι προσδοκωσι τὸ ἐκ τοῦ πτώματος αὐτῶν σχισμα. ἢ διὰ τετο μεγάλῃ Φροντίδι. ἢ ἀγρύπνῳ σπουδῇ πάρεισιν ἡμιν πασαις ὥραις. ἢ πασι τοποις συντρέχοντες. ἢ τῶν ἀναγκῶν ἡμων προνοῦμενοι. ἢ σπουδαίως διατρεχοντες μεταξὺ σου ἢ ἡμῶν Κύριε, τοὺς ξεναγμοὺς ἢ τὴν συνοχὴν ἡμῶν πρὸς σὲ ἀναΦεροντες· ἵν ἡμιν ῥᾳδίως τὸν ἱλασμον τῆς σῆς ἀγαθοτητος ἐξαιτήσωνται, πρὸς ἡμᾶς τε κατενεγκωσι τὴν ἐπιθυμητὴν τῆς σῆς χάριτος εὐλογίαν. ἐν πασαις ταις ὁδοις ἡμῶν. ἡμῖν συμπορεύονται. εἰσερχονταί τε ἢ ἐξερχονται μεθ ἡμῶν. ἀτενῶς ἐπιβλεποντες, πόσον εὐλαβῶς, ποσον ἡπίως ἀναΦερόμεθα μέσον σκολιας γενεας, πόσῃ τε σπουδῇ, ἢ ἐπιμελείᾳ ζητοῦμεν τὴν βασιλειαν σου, ἢ τὴν δικαιοσύνην σου· ποσῳ τε Φόβῳ ἢ τρόμῳ διελεύομεν, ἢ ἀγαλλιώμεθά σοι ἐν εὐΦροσύνῃ τῆς καρδίας ἡμῶν· βοηθοῦσι τοῖς πονοῦσι· σκέπουσι τοὺς ἀναπαυομένους· παροτρυνουσι τοὺς μαχομένους στεΦανοῦσι τοὺς νικῶντας· συγχαίρουσι τοῖς χαίρουσιν ἐπὶ σοί· συμπάσχουσι τοῖς πάσχουσιν ὑπὲρ σου· μεγάλη τε τούτοις ὑπὲρ ἡμῶν ἡ Φροντὶς ἢ μεγάλη ἡ τῆς περὶ ἡμᾶς τούτων ἀγάπης διάθεσις. τοῦτο δὲ πλον, ὑπὲρ τῆς δόξης τῆς σῆς ἀνεννοήτου ἀγάπης, ἣν ἡμᾶς ἠγάπησας. ἀγαπῶσι γὰρ, ὃς αὐτὸς ἀγαπας· Φυ-

λάσσου-

λάσσεσιν, ὃς αὐτὸς Φυλάσσεις. ἀπολείπεσί τε, ὃς αὐτὸς καταλεί-
ψαλμ. ε. 5. „πεις, ἵνα μὴ ἀγαπῶσι τὸς ποιέντας τὴν ἀνομίαν. ὅτι σὺ ἐμίσησας
„πάντας τὸς ἐργαζομένες τὴν ἀνομίαν. ἢ ἀπωλεῖς πάντας τὸς λα-
„λῶντας τὸ ψεῦδος. ὁσάκις τὰ ἀγαθὰ πράττομεν, χαίρεσι μὲν οἱ
ἄγγελοι, λυπῶνται δὲ οἱ δαίμονες. ὁσάκις δὲ ἀποπίπτομεν τῶ ἀγα-
θῶ, τῷ μὲν διαβόλῳ, ἡδονῆς αἴτιοι καθιςάμεθα, τὸς δὲ ἀγγέλες,
λεκ. ιέ. 7. 10. „τῆς ἰδίας ἀποςερῶμεν χαρᾶς. χαρά ἐςι τέτοις ἐπὶ ἑνὶ ἁμαρτωλῷ
μετανοοῦντι. ἀλλὰ τί ἐπὶ ἑνὶ δικαίῳ τὴν μετάνοιαν καταλιπόντι ποιή-
σεσι; δὸς τοίνυν ἐκείνοις Πάτερ, ἀεὶ ἐφ' ἡμῖν χαίρειν. ἵνα ἢ σὺ δι'
ἐκείνων ἀεὶ ἐφ' ἡμῖν δοζάζῃ· ἢ πρὸς ἓν ἐκείνοις ποίμνιον, συναχθῶμεν
ἡμεῖς· τῶ ἐξομολογήσασθαι τῷ ὀνόματί σε τῷ ἁγίῳ, ἀγγέλων, ἢ ἀν-
θρώπων δημιεργέ. τέτων μεμνημένος ἐξομολογοῦμαι ἐνώπιόν σε ὑμνῶν
σέ. ὅτι μεγάλαι εὐεργεσίαι εἰσὶν αὗται, αἷς ἡμᾶς τετίμηκας, δοὺς
ἡμῖν ἀγγέλες εἰς ἡμετέραν διακονίαν. ἐδεδώκεις γὰρ ἡμῖν, πᾶν ὅπερ
τῷ γύρῳ τῶ ὐρανῶ περιέχεται. ἢ ὥσπερ μικρὰ τὰ ὑπὸ τὸν ὐρανὸν ἐ-
λογίσω, εἰ μὴ προσθῇς ἢ τὰ ὑπὲρ τὸν ὐρανόν. τότε χάριν αἰνεσί-
ψαλμ. μό'. 13. τωσάν σε πάντες ἄγγελοί σε. „ἐξομολογησάσθωσάν σοι πάντα τὰ ἔρ-
„γα σε, ἢ οἱ ὅσιοί σε εὐλογησάτωσάν σε, ὦ ἡμετέρα τιμή, ἡ λίαν
ἡμᾶς τιμῶσα, ἢ πλυτίζεσα, πολλοῖς δώροις ὡράϊσας. „Θαυμασὸν
ψαλμ. ή. 1. „τὸ ὄνομά σε ἐν πάσῃ τῇ γῇ! τί γάρ ἐσιν ἄνθρωπος, ὅτι μεγαλύνεις
αὐτόν; ἢ τιμᾷς αὐτόν; ἢ ἐπιτίθης ἐπ' αὐτὸν τὴν καρδίαν σε;

ΣΤΑΣΙΣ Θ'.

Εὐχὴ ΚΗ'. Περὶ τῦ βαθέος προορισμῦ, ἢ τῆς προγνώσεως τῦ Θεῦ.

παρ. ή. 31. Ε „Ἴρηκας γὰρ ἀρχαία ἀλήθεια „ἡ τρυφή μς μετὰ τῶν υἱῶν
„τῶν ἀνθρώπων (4). ὁ σαπρία ὁ ἄνθρωπος, ἢ σκώληξ
υἱὸς

(4) Σημείωσαι, ὅτι τὸ ῥητὸν τῦτο αὐτολεξεὶ οὐχ εὑρίσκεται ὡ τῇ θείᾳ γραφῇ, ὡλλαχῦ δὲ, ἢ παρέξεσαι τῷ θείῳ τέτῳ Πατρὶ, ἐκ τῦ ή. τῶν Παροιμιῶν σίχ. 31. ὅπε οἱ μὲν ἑβδομήκοντα μετέφρασαν, ὅτε ἐνεφράνετο τὴν σι-

" υἱὸς ἀνθρώπου ; ὁ ματαιότης πᾶς ἄνθρωπος ζῶν ; ἢ ἀξιοῖς ἐπὶ τῷ τοιούτῳ ἀνοίγειν τὸς ὀφθαλμός σε ; ἢ προσάγειν αὐτὸν μετὰ σὲ εἰς κρίσει ; δίδαξόν με ἄβυσσος βαθυτάτη, δημιουργὲ σοφίας, ὁ ἑήσας ἐν ἑαθμῷ τὰ ὄρη, ἢ τὰς νάπας ζυγῷ, ἢ τὸν ὄγκον τῆς γῆς τοῖς τρισὶ δακτύλοις μετεωρίσας · ἵν' ἴδω, ἢ γνωρίσω πόσον εἶ θαυμαστὸς ἐν πάσῃ τῇ γῇ. Φῶς ἀρχαιότατον, τὸ φωτίζον πρὸ παντὸς ἄλλου φωτός. ἐν ὄρεσιν ἁγίοις τῆς ἀρχαίας ἀϊδιότητος, ᾧ πάντα γυμνὰ ἢ τετραχηλισμένα, ἢ πρὶν γενέσθαι. Φῶς, τὸ μισῶν πᾶσαν κηλίδα, ὡς ἂν καθαρώτατον ἢ ἀμίαντον. τίς σοι τρυφὴ μετὰ τὸ ἀνθρώπου ; τίς κοινωνία φωτὶ πρὸς σκότος ; ἐν τίνι τῷ ἀνθρώπου ἐστὶν ἡ σὴ τρυφή ; πῶ ἐν ἐμοὶ σεαυτῷ ἡτοίμασας ἁγιαστήριον τῆς σῆς μεγαλειότητος ἄξιον ; ὅπερ εἰσερχόμενος, ἔχεις τὴν τῆς σῆς ἀγάπης τρυφήν ; καθαρὰ γάρ σοι πρέπει πᾶσα, ᾧ καθαρτικὴ δύναμις, ἢ μόνως ὑπάρχεις ὁρατὴ τοῖς καθαροῖς καρδίαις. πολλῷ δὲ ἧττον κτιστή · ἐν δὲ τῷ ἀνθρώπῳ πῶ καθαρὸς ἔτω ναός, ὥστε σὲ δέξασθαι τὸν ἡγεμόνα τοῦ κόσμου ; τίς δύναται καθαρὸν ποιῆσαι. τὸν ἐξ ἀκαθάρτου σπέρματος συλλιφθέντα ; ἢ σύ ; ὃς τις μόνος εἶ καθαρός ; τίς γὰρ καθαρισθήσεται ὑπ' ἀκαθάρτου ; κατὰ γὰρ τὸν νόμον τὸν δοθέντα τοῖς πατράσιν ἡμῶν, ἐν πυρὶ καιόντι τὸ ὄρος, ἢ ἐν νεφέλῃ τῇ σκοτεινῇ ὕδατος ἁπτομένη, πᾶν τὸ ἀκαθάρτου ἁπτόμενον, ἀκάθαρτον ἔσαι. πάντες δ' ἡμεῖς, ὡς ῥάκος ἐμμήνου, ἐκ φυράματος ἥκοντες ἀκαθάρτου. ἢ διεφθαρμένου · κηλίδα ἀκαθαρσίας, ἣν σοι γὲν τῷ πάντα εἰδότι κρύπτειν ἀδύνατον, ἑκόντες ἐφελκόμεθα. ὅθεν ἀδύνατον καθαροὺς ἡμᾶς εἶναι, εἰ μὴ σὺ καθάρῃς ὁ μόνος καθαρός. καθαίρεις δὲ ἐξ ἡμῶν τῶν ἡμῶν τῶν ἀνθρώπων, ἐν οἷς ἠὐδόκησας κατοικεῖν. ἐς τοῖς ἀπροσίτοις, ἢ βαθέσι μυσηρίοις τῶν ἀπερινλήπτων τῆς σοφίας σε κριμάτων, τῶν ἀεὶ δικαίων μὲν, κρυπτῶν δὲ, προώρισας πρὸ καταβολῆς κόσμου · καλέσας

Ψαλμ. λή. 8.

Β' Κορ. ε'. 14.

Λευϊτ. ιά. 31.

τὴν οἰκουμένην συντελέσας, ἐν ἡμῖς ἀνθρώπων. (ὁ Θεὸς δηλ.) τὸ δὲ νῦν σωζόμενον Ἑβραϊκὸν, ἔτω τὸ ὀντὸν μεταφράζει, ἡ αἱ εὐφροσύναι μετὰ τῶν ἡμῶν τῶν ἀνθρώπων. τάτε δὲ πρὸς τὸ ἡ τρυφὴ μὲ μετὰ τῶν ἡμῶν τῶν ἀνθρώπων. ἐδὲν ἐστι σχεδὸν τὸ διάφορον.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

λέσας αὐτὺς ἐκ τῦ κόσμυ, ἢ μεγαλύνας αὐτὺς διὰ σὲ τὸν καθαρόν.
ὑ πᾶσι δὲ τῦτο ποιεῖς, ὃ θαυμάζοντες ἐκλείπυσι πάντες οἱ σοφοὶ τῆς
γῆς. καγὼ Κύριε κατανοῶν ἀπορῶ, ἢ ἐκπλήττομαι τὸ βάθος τῦ
πλύτυ τῆς σῆς σοφίας ἢ γνώσεως, ἧς ἐγὼ ὐκ ἐφικνῦμαι. ἀπερίλη-
πτα γὰρ τὰ κρίματα τῆς δικαιοσύνης συ, „ ὅτι ἐκ τῦ αὐτῦ πηλῦ ποι-
Ῥωμ. θ' 21. „ εῖς, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν αἰώνιον. ὡς τοίνυν ἐκ
πολλῶν εἰς σὸν ναὸν ἐξελεξω, αὐτὺς καθαίρεις, ῥαίνων ἐπ αὐτὺς υ-
δωρ καθαρόν. ὧν ἢ τὰ ὀνόματα πάντων σὺ οἶσθα. ὃς μονος ἀριθ-
Ψ. ρμε. „ μεῖς ἢ τὸν τῶν ἀστέρων ἀριθμὸν ἢ πᾶσιν αὐτοῖς ὀνόματα καλεις.
Ῥωμ. ἡ. „ οἱ δὲ γεγραμμένοι ἐν βίβλῳ ζωῆς, ἀπολεσθαι ὐ δύνανται. οἷς παν-
„ τα συνεργεῖ εἰς τὸ ἀγαθὸν, ἢ αὐτὰ τὰ ἁμαρτήματα. ὅταν γὰρ
Ψ. λς'. „ πέσωσιν, ὐ καταράσσονται, ὅτι σὺ ἀντιξηρίζεις αὐτοῖς τὴν χειρά
„ συ, Φυλάσσων πάντα τὰ ὀστᾶ αὐτῶν. τῦ μηδὲν ἐξ αὐτῶν συντριβῆ-
Ψαλμ. „ ναι. ἀλλ' ὁ τῶν ἁμαρτωλῶν θάνατος πονηρός ὡς πρὸ τῦ ποιῆσαι
λγ' 20. τὸν ὐρανὸν, ἢ τὴν γῆν, κατὰ τὴν μεγάλην ἄβυσσον. τῶν ἀποκρύφων
συ μὲν κριμάτων, ἀεὶ δὲ δικαίων προέγνως εἰς αἰώνιον θάνατον. ὧν
ὁ τῶν ὀνομάτων ἀριθμὸς, ἢ τῶν φαύλων μισθῶν, παρὰ σοί ἐσι τῷ
τὴν ἄμμον τῆς θαλασσης ἠριθμηκοτι (5) ἢ τὸ βάθος τῆς ἀβύσσυ
μετρήσαντι.

Εὐχὴ ΚΘ'. Περὶ τῶν προτέρων μὲν ὄντων δικαίων, μετὰ ταῦ-
τα δὲ ἀσεβῶν γινομένων, ἢ τὸ ἀναπαλιν.

ΜΕγάλα εἰσὶ ταῦτά συ τὰ κρίματα Κύριε ὁ Θεὸς κριτὰ δίκαιε
ἢ ἰσχυρὲ, ὁ κρίνων δικαιοσύνην ἢ ἀνεξερεύνητα ἢ βαθέα, ἃ κα-
τανοῦντα τρέμυσι πάντα τὰ ὀστα μυ, ὅτι ὐδεὶς ἄνθρωπος ἐν ἀσφα-
λείᾳ ἐπὶ τῆς γῆς· ἵν' εὐσεβῶς ἢ ὁσίως δυλεύωμέν σοι πάσας τὰς ἡ-
μέρας

(5) Ὅρα ὅτι τὴν ἐπαγγελίαν, ἣν ὁ Θεὸς ὑπέσχετο τῷ Ἀβραὰμ πληθύ-
ναι τὸ σπέρμα αὐτῦ ὡς τὰ ἄστρα τῦ ὐρανῦ ἢ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ
χεῖλος τῆς θαλάσσης, σοφῶς ἑρμηνεύων ὁ Θεῖος ἔτος Πατὴρ, τὰ μὲν ἄστρα,
τοῖς δικαίοις ἀνωτέρω ἐμέρισε, τὴν δὲ ἄμμον, τοῖς ἁμαρτωλοῖς ἢ ἀδοκίμοις
ἐνταῦθα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ μέρας τῆς ζωῆς ἡμῶν ἐν Φόβῳ, καὶ ἀγαλλιώμεθά σοι ἐν τρόμῳ. ὡ- Ψαλμ.
„ σε μήτε Φόβε χωρὶς τὴν δικαίαν ὑπάρχειν, μήτε τὴν χαρὰν ἄνευ Β'. 11.
τρόμε. καὶ μὴ καυχήσεταί ἐνώπιόν σε πᾶσα σὰρξ· μηδὲ καυχήσασθαι
τὴν ἐπαφήν, μηδὲ τὴν ἀπόλυψιν. ἀλλ' ἐκπλήττονται καὶ τρέμυσιν ἀ-
πὸ τῆ προσώπε σε, ὅταν ἀγνοῇ ἄνθρωπος, πότερον μίσες, ἢ ἀγά-
πης ἐστὶν ἄξιος καὶ ἀδήλα εἰς τὸ μέλλον πάντα φυλάττονται. πολ-
λὰς γὰρ εἴδομεν Κύριε, καὶ παρὰ τῶν πατέρων ἡμῶν ἀκηκόαμεν (ο
Φόβε χωρὶς ἐκ ἀναπολῶ· ἐχ' ὁμολογῶ χωρὶς τρόμε) πρότερον μὲν
ἀνελθόντες ἕως τῆ ἠρανῆ ἐν τοῖς ἄστροις τὴν ἑαυτῶν πήξασθαι καλι-
άν. μετὰ δὲ ταῦτα πεσόντων ἕως τῶν ἀβύσσων, τὰς ψυχὰς αὐτῶν
ἐν τοῖς κακοῖς ἐκπλαγῆναι. εἴδομεν τὰς ἀστέρας ἐκ τῆ ἠρανῆ πεσόντας Ἰεζεκ.
ἕως τῶν ἀβύσσων, ἐκ τῆς ὁρμῆς τῆ μανιώδες ἠραίε τῆ δράκοντος, κή. 14.
καὶ τὰς κειμένας ἐν τῷ τῆς γῆς χώματι, θαυμασῶς ἀνελθόντας ἀ-
πὸ προσώπε τῆς ἀνακεφιζέσης σε δεξιᾶς, τὰς ζῶντας θνήσκοντας,
καὶ τὰς τεθνηκότας εἴδομεν ἀναστάντας ἐκ τῆ θανάτε. καὶ τὰς περι- Ἰεζεκ.
„ πατᾶντας μέσον τῶν ἰῶν τῆ Θεῆ, ἐν μέσῳ καιομένων λίθων, ὥσπερ κή. 14.
πηλὸν εἰς τὸ μηδὲν ὑποφέροντας. εἴδομεν σκοτισθὲν τὸ Φῶς, καὶ ἐκ
„ τῆ σκότες Φῶς προελθόν. Τελῶναι γὰρ, καὶ πόρναι προάγυσι τὰς Ματθ'.
„ ἀποίκες εἰς τὴν βασιλείαν τῶν ἠρανῶν. τὰς δὲ τῆς βασιλείας ἰὰς κά. 31.
„ ἐκβαλλομένας εἰς τὸ σκότος τὸ ἐξώτερον. τίνος δὲ χάριν ἅπαντα
ταῦτα; εἰ μὴ διὰ τὸ ἀνελθεῖν εἰς τὸ ὄρος ἐκεῖνο, εἰς ὃ ἀνῆλθον ἄγ-
γελος, καὶ κατῆλθε διάβολος. „ ἃς δὲ προώρισας, τύτες καὶ ἐκάλεσας, Ρωμ.
„ καὶ ἡγίασας, καὶ ἐκαθάρισας, ἵνα ἄξιον κατοικητήριον ὦσι τῆς σῆς με- η'. 30.
γαλειότητος. μεθ' ὧν, καὶ ἐν οἷς ἔσι σοι τρυφὴ ἁγία, καὶ καθαρά·
ἐν οἷς χαίρεις, καὶ χαίρειν ποιεῖς τὴν ἐκείνων νεότητα· καὶ σὺ κατοι-
κεῖς ἐν μέσῳ αὐτῶν. ἕτως ἐκεῖνοι ἅγιος ναός σε εἰσίν. ὃ μεγάλη
παράσασίς ἐσι, τῆ τῆς ἡμετέρας ἀνθρωπότητος ἀξιώματος.

Εὐχὴ Λ'. Ὅτι ἡ πιστὴ ψυχὴ ἁγιαστήριόν ἐσι τῆ Θεῆ.

Η Γὰρ ψυχὴ, ἣν ἔκτισας ἐκ ἀπὸ σαυτῆ, ἀλλὰ διὰ τῆ σῆ λόγε, ἐκ ἐκ τῆς τῶν στοιχείων ὕλης, ἀλλ' ἐκ τῆ μηδενός· λογικὴν, νοερὰν, ἀσώματον, ἀειζωον, ἀεικίνητον, ἣν ἐσημειώσω τῷ Φωτὶ τῆ προσώπε σε, καὶ

σε. ἡ καθιέρωσας τῇ τῦ βαπτίσματός σε δυνάμει. ὕτω δεκτικὴ τῆς σῆς μεγαλειότητος γέγονα, ὡς ἀπὸ σε μόνον, ἄλλε δὲ ἐδενὸς δύνασθαι πληρωθῆναι. ὅταν σὲ τοίνυν ἔχῃ τὴν ὀντελῆ ταύτης ἐπιθυμίαν, ἐδὲν ἕτερον ἔξωθεν καταλείπεται, ὃ ἂν ἐπιθυμήσειεν. ὅταν δέ τινος ἔξωθεν ἐπιθυμῇ, Φανερὸν, ὡς σὲ ἐ δυθὲν ἐκ ἔχει. ὃν ἔχεσα, ἐδενὸς ἂν ἐπεθύμει περαιτέρω. ἐπεὶ γὰρ ἄκρον εἰ ἀγαθὸν, ἡ πᾶν ἀγαθὸν, ἐκ ἔχει τίνος ἂν ἔτι ἐπιθυμήσειε, τὸ πᾶν ἀγαθὸν κεκτημένη. εἰ δὲ μὴ τὸ πᾶν ἀγαθὸν ἐπιθυμοῖ, ἐκ ἐπαί τινος ἐπιθυμεῖν. ὅπερ ἐκ ἔσι τὸ πᾶν ἀγαθὸν. ὡς ἐδὲ τὸ ἄκρον ἀγαθὸν. ἐδ ἄρα τὸν Θεόν· ἀλλὰ μᾶλλόν τι τῶν κτισμάτων. ἐπιθυμῦσα δὲ κτισμάτων συνεχῆ τὴν πεῖναν ἔχει· διότι, εἰ μὴ τῆς τῶν κτισμάτων ἐπιθυμίας τυγχάνει, κενὴ μόντοι τὸ ὀντεῦθεν μένει· ὅτι μηδὲν ἐσιν, ὃ ἂν αὐτὴν πλήρώσειε, πλὴν σῦ, ὃ κατ' εἰκόνα δεδημιύργηται. τότες δὲ πλήροῖς, οἳ μηδενὸς ἄλλε ἐπιθυμῦσι, πλὴν σῦ. ἡ ποιεῖς αὐτὲς ἀξίες σεαυτῦ, ἁγίες, μακαρίες, Φίλες Θεῦ. οἳ πάντα ὡς σκύβαλα λογίζονται ἵνα σὲ μόνον κερδήσωσιν. αὕτη ἡ μακαριότης, ἣν δεδωκας τῷ ἀνθρώπῳ, ἡ τιμὴ, ἣ αὐτὸν τετίμηκας ὐν πᾶσι τοῖς κτίσμασι. μᾶλλον δὲ ὑπὲρ πάντα τὰ κτίσματα ὡς εἶναι θαυμαςὸν τὸ ὄνομά σε ὐν πάσῃ τῇ γῇ. ψαλμ. ἡ. 1.

ΣΤΑΣΙΣ Ι'.

Εὐχὴ ΛΑ'. Ὅτι ὔτε διὰ τῶν ἔξω αἰσθήσεων, ὔτε διὰ τῶν ἔνδον, δυνατὸν εὑρεῖν τὸν Θεόν.

ΔΕ Κύριε ὁ Θεός με, ὕψισε. ἡ παντοδύναμε, εὗρον τὸν τόπον ἔ κατοικεῖς, ὅτι ὐν τῇ ψυχῇ. ἣν ἔκτισας κατ' εἰκόνα σὴν ἡ ὁμοίωσιν, τῇ σὲ μόνον ζητέσῃ, ἡ σῦ μόνε ἐφιεμένῃ. ὃ γὰρ ὐν τῇ μὴ ζητέσῃ σε. μηδ' ἐφιεμένῃ σε. ἐγὼ ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ἔξω σε ζητῶν ἐμὸ τὸν ὐν ἐμοὶ κατοικῦντα εἰ μόνον ἀγαπῶην σε· ἡ ἐπόνησα ἔξωσε ζητῶν τὸν ἔνδον ὄντα. περιῆλθον τὰς πλατείας ἡ ῥύμας τῆς πόλεως τῦ κόσμε τότε ζητῶν σε, ἡ ἐχ εὗρον, ὅτι κακῶς ἐζήτεν ἔξω ζητῶν τὸν ἔνδον ὄντα.

ἀπέσει-

ἀπέστειλά μου τοὺς ἀγγέλους, πάσας τὰς ἔξωθεν αἰσθήσεις τοῦ ζητῆσαί σε, καὶ οὐχ εὗρον, ὅτι κακῶς ἐζήτουν. ὁρῶ γὰρ Κύριέ τὸ Φῶς μου τὸ Φωτίσαν με, ὅτι κακῶς σε δι' ἐκείνων ἐζήτουν. ὅτι σὺ μὲν ἔνδον εἶ, ἐκεῖναι δὲ ὄθεν εἰσῆλθες ἠγνόησαν. καὶ γὰρ, οἱ μὲν ὀΦθαλμοὶ λέγουσιν· εἰ μὴ χρῶμα εἶχε, δι' ἡμῶν οὐκ εἰσῆλθε· τὰ ὦτα λέγουσιν· εἰ μὴ ἦχον ἐποίησε, δι' ἡμῶν οὐκ εἰσῆλθον. ἡ ὄσΦρησις λέγει· εἰ μὴ ὀσμὴν ἔχει, δι' ἐμοῦ οὐκ εἰσῆλθον. ἡ ἁΦὴ προσίθησιν· εἰ σῶμα οὐκ ἦν, μηδὲν περὶ τούτου τοῦ πράγματος ἐρώτα. ὁ ταῦτα εἰ σὺ Κύριε ὁ Θεός μου. ὁ γὰρ σώματος εἶδος, οὐδὲ χρώματος κάλλος, οὐδὲ λευκότητα Φωτὸς, ἢ χρῶμα, οὐδὲ γλυκείων μελωδιῶν ᾄσματα, καὶ πάντα ἡδέως ἠχοῦντα, οὐκ ἀνθέων, ἢ μύρων, ἢ ἀρωμάτων ὀσμὰς, οὐ μέλι, οὐ μάννα τὰ τῇ γεύσει ἡδέα, οὔτε ἄλλα, ὧν ἅπτεσθαι ἢ περιλαμβάνειν ἐρῶμεν, οὐδ' ἕτερόν τι ταῖς αἰσθήσεσιν ὑποκείμενον ζητῶ, ὅταν τὸν Θεόν μου ζητῶ ἀπεῖη ταῦτα με πιστεύειν εἶναι τὸν Θεόν μου, τὰ καὶ ταῖς ἀλόγοις αἰσθήσεσι καταληπτά. Ὅμως μάντοι τὸν Θεόν μου ζητῶν, Φῶς τί ζητῶ ὑπὲρ πᾶν Φῶς, ὅπερ ὀΦθαλμὸς ὁ χωρεῖ. Φωνὴν, ὑπὲρ πᾶσαν Φωνὴν, ἣν ὁ δεχεται οὖς, ὀσμὴν, ὑπὲρ πασαν ὀσμὴν, ἣν ὄσΦρησις ὁ χωρεῖ. γλυκύτητα, ὑπὲρ πασαν γλυκύτητα, ἣν, ὁ χωρει γεῦσις, περιπλοκήν τινα, ὑπὲρ πᾶσαν περιπλοκὴν, ἧς οὐχ ἅπτεται ἁΦὴ τοῦ ἐνδοτέρω ἀνθρώπου. τοῦτο τὸ Φῶς Φαίνει, ὅπου τόπος ὁ περιέχει. αὕτη ἡ Φωνὴ ἠχεῖ, ὅπου χρόνος οὐχ ἁρπάζει. ἡ ὀσμὴ αὕτη εὐωδιάζει ὅπου ἐκπνοὴ ὁ διασκεδάζει. ὁ χυμὸς ἔτος αἴσθησιν δίδωσι τοῖς γευομένοις, ὅπου μὴ ἔσιν ἐσθίειν. ἡ περιπλοκὴ αὕτη ἅπτεται, ὅπου οὐ διασπαται. „ Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτε- Baρέχ. „ρος πρὸς αὐτόν. τοῦτο ζητῶ, ὅταν τὸν Θεόν μου ζητῶ. τοῦτο ἀγα- γ. 35.
πῶ, ὅταν τὸν Θεὸν ἀγαπῶ. ὀψέ σε ἠγάπησα, κάλλος πρεσβύτατόν τε ἅμα, καὶ νεώτατον. ὀψέ σε ἠγάπησα, καὶ σὺ ἔνδον ἦσθα. κἀγὼ ἔξω. κἀκεῖσε ἐζήτουν, καὶ τέτοις τοῖς ὑπὸ σοῦ πεποιημένοις εἴδεσιν περιέπιπτον ὁ ἀνείδεος. μετ' ἐμοῦ ἦσθα. κἀγὼ οὐκ ἤμην μετὰ σοῦ. ταῦτά με μακρὰν ἀΦεῖλκον ἀπὸ σοῦ, ἃ μὴ ὢν σοὶ ὄντα, εἶναι ἀδύνατον. περιήει πάντα ζητῶν σε καὶ διὰ τὰ ἄλλα καταλιμπάνων σε. ἠρώτησα τὴν γῆν εἰ Θεός μου ἐστὶ, καὶ εἶπέ μοι· οὐ. καὶ τὰ ὁμοίως ἁπτῇ. κἀκεῖνα αὐτὸ

τοῦτο

τῦτο ὡμολόγησαν. ἠρώτησα τὴν θάλασσαν, τὰς ἀβύσσους, καὶ τὰ ἐν αὐταῖς ἑρπετὰ, καὶ εἶπον. ἐκ ἐσμὲν ὁ Θεός σε. ὑπὲρ ἡμᾶς τῦτον ζήτει (6) τὸν ἀναπνεύσον ἀέρα ἠρώτησα, καὶ ὅλος ἐκεῖνος μετὰ τῶν ἐνδιαιτωμένων αὐτῷ εἶπε· σΦάλλη· ἐκ ἐσμὲν ὁ Θεός σε. ἠρώτησα τὸν ὐρανόν· τὸν ἥλιον· τὴν σελήνην· τὰ ἄστρα. καὶ ἡμεῖς ἐσμὲν ὁ Θεός σε εἶπον. καὶ εἶπον πάσι τοῖς περιεστῶσιν ἔξωθεν τῆς σαρκός με· εἴπατέ μοι περὶ τῦ Θεῦ με, ἐπεὶ ἐκ ἐστὲ ὑμεῖς, εἴπατέ μοι περὶ ἐκείνε τι. καὶ Φωνῇ μεγάλῃ ἔκραξαν πάντα· αὐτὸς ἐποίησεν ἡμᾶς. ἠρώτησα περὶ τύτε τὸν ὄγκον τῦ κόσμε. εἰπέ μοι, εἰ σὺ εἶ ὁ Θεός με, ἢ ἄ; καὶ εἶπε Φωνῇ μεγάλῃ. ἐκ εἰμὶ ἐγώ· ἀλλ' ἐγὼ δι' αὐτῦ εἰμί. αὐτός με ἐποίησεν· ὑπὲρ ἐμὲ ζήτει τὸν ἡγεμόνα με, καὶ τὸν σὲ ποιήσαντα. τὸ τὰ κτίσματα ἐρωτᾶν, ἀκριβὴς αὐτῶν θεωρία. ἡ τύτων ἀπόκρισις, μαρτυρία τύτων περὶ Θεῦ· ὅτι πάντα βοᾷ. ὁ Θεὸς ἐποίησεν ἡμᾶς. ἐπεὶ καθὼς Φησὶν ὁ Ἀπόστολος „τὰ ἀόρατα τῦ Θεῦ ἀ- Ῥωμ. ά. 20. „πὸ κτίσεως κόσμε, τοῖς ποιήμασι νοέμενα καθοράται. ὑπέστρεψα πρὸς ἐμαυτὸν, καὶ εἰσῆλθον πρὸς ἐμαυτὸν, καὶ εἶπον πρὸς ἐμαυτόν. σὺ τίς εἶ; ἀπεκρίνατό μοι. ζῶον λογικὸν θνητόν· καὶ ἠρξάμην ἀνακρίνειν. τί τῦτο ἂν εἴη; καὶ εἶπον· πόθεν τῦτο τὸ ζῶον Κύριε ὁ Θεός με; πόθεν, εἰ μὴ ἐκ σῦ; σὺ πεποίηκάς με, καὶ ἐκ ἐγώ. τίς σύ; σὺ Κύριε ὁ Θεός με, ἀληθὴς μόνος. παντοκράτωρ. ἀΐδιος, ἀπερίληπτος ἀμέτρητος, ἀείζωος, μηδὲν ἔχων ἐν σοὶ θνητόν· ἀθάνατος· ἀϊδιότητα οἰκῶν, θαυμαστὸς τοῖς ὀΦθαλμοῖς τῶν ἀγγέλων. ἀδιήγητος· ἀνεξερεύνητος· ἀκατονόμαστος. Θεὸς ζῶν, καὶ ἀληθής· Φοβερός· Ἰσχυρός· μὴ γινώσκων ἀρχὴν, μήτε τέλος. ἀρχὴ πάντων, καὶ τέλος. ὃς πρὸ πάσης ἀρχῆς αἰώνων, καὶ πρὸ πάσης τύτων καταβολῆς, Θεὸς εἶ, καὶ Κύριος πάντων τῶν ὑπὸ σῦ κτισθέντων. καὶ παρὰ σοὶ στά-

(6) Μία τοιαύτη ἐρωταπόκρισις γίνεται καὶ ἐν τῷ Ἰὼβ περὶ τῆς Σοφίας „ἡ δὲ Σοφία, Φησι, πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπιστήμης; ... ἄβυσσος εἶπεν· ἐκ ἔστιν ἐν ἐμοί. καὶ ἡ θάλασσα εἶπεν. ἐκ ἔνεστι μετ' ἐμῦ. λέλησθε πάντα ἄνθρωποι. καὶ ἀπὸ πετεινῶν τῦ ὐρανῦ ἐκρύβη. ἡ ἀπωλεια καὶ ὁ θάνατος εἶπαν· ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος. (Ἰὼβ κεΦ. κή.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοὶ εἰσὶν ἔχουσιν αἱ τῶν ἀσάτων πάντων αἰτίαι. ἢ τῶν μεταβλητῶν πάντων παρὰ σοὶ ἀμεταβλητοὶ μένουσιν αἱ ἀρχαί. ἢ πάντων τῶν λογικῶν, ἢ ἀλόγων, ἢ χρονικῶν παρὰ σοὶ ζῶσιν αἰώνιοι λόγοι. εἰπέ μοι, εἰπὲ τῷ σῷ λάτρῃ Θεέ. εἰπὲ ἐλεήμων τῷ ταλαιπώρῳ. εἰπὲ, δέομαι, διὰ τῶν οἰκτιρμῶν σου. πόθεν τοῦτο τὸ ζῶον, εἰ μὴ ἀπὸ σοῦ; εἰ ἔστι τις ἑαυτῷ τεχνίτης; πόθεν ἑτέρωθεν, πλὴν παρὰ σοῦ ἐλκύσειεν ἄν τις τὸ εἶναι, ἢ ζῆν; ἐχὶ σὺ εἶ τὸ ἄκρον ἀγαθόν. παρ' ἧ πᾶν ὃν ἐστὶ; παρὰ σοῦ γάρ ἐστι πᾶν ὅπερ ἂν ᾖ. ὁδὸν γάρ ἐστι χωρὶς σοῦ. ἐχὶ σὺ πηγὴ τῆς ζωῆς εἶ, ἐξ ἧς ῥεῖ πᾶσα ζωή; ὃ γὰρ ἂν ζῇ, διὰ σοῦ ζῇ. ἢ χωρὶς σοῦ ζῶν ὁδόν σὺ τοίνυν με πεποίηκας Κύριε. ζητῶ τίς με ἐποίησε; σὺ Θεέ μου ἐποίησας. ἧ χωρὶς, ἐγένετο οὐδὲ ἕν. σὺ, ποιητής μου ἐγὼ, ἔργον σου. χάρις σοι Κύριε ὁ Θεός μου, δι' ἧ ἐγὼ ζῶ, ἢ δι' ἧ πάντα, ὅτι με ἐποίησας. χάρις σοι τῷ πλάσῃ μου, ὅτι αἱ χεῖρές σου ἐποίησάν με ἢ ἔπλασάν με. χάρις σοι Φῶς μου, ὅτι ἐφώτισάς με ἢ εὗρες με. πῶ με εὗρες; πῶ με ἔγνως; ὅπου σε εὗρον. ὅπου σὲ ἔγνων. πῶ δέ σε ἔγνων; ὅπου με ἐφώτισας. χάρις σοι Φῶς ἐμὸν, ὅτι ἐφώτισάς με. τί ἐστι τοῦτο, ὅπερ εἶπον, ὅτι ἔγνων σε; οὐχὶ σὺ „ ἀπερίληπτος εἶ, ἀμέτρητος, βασιλεὺς τῶν βασιλευόντων, ἢ Κυρι- „ ος τῶν κυριευόντων; ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσι- „ τον; ὃν οὐδεὶς εἶδεν ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται; οὐχὶ σὺ εἶ Θεὸς κεκρυμμένος, ἢ ἀνεξερεύνητος ἐν μεγαλειότητι; σεαυτὸν σὺ μάλιστα μόνος γινώσκων ἢ θαυμασῶς θεωρῶν; τίς τοίνυν ἔγνω, ὅπερ οὐδέποτε εἶδεν; εἰπὰς γὰρ ἡ ἀλήθεια „ οὐκ ὄψεταί με ἄνθρωπος ἢ ζήσε- „ ται. ἀλλὰ ἢ ὁ σὸς κήρυξ ἐν τῇ ἀληθείᾳ σε εἰπέ. Θεὸν οὐδεὶς ἑώ- „ ρακε πώποτε. τίς τοίνυν ἔγνω, ὅπερ οὐδέποτε εἶδεν; εἰπέ μοι ἡ ἀ- „ λήθειά σου. οὐδεὶς οἶδε τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ. οὔτε τὸν Πατέρα „ τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός. μόνη ἡ Τριὰς μόνῃ ἑαυτῇ ἐστὶ γνω- στὴ, ἡ ὑπερέχουσα πάντα νῷ. τί τοίνυν ὅπερ εἶπον, ὅτι ἔγνων σε; „ ἄνθρωπος ματαιότητι ὡμοιώθη. τίς γάρ σε ἔγνω; εἰ μὴ σὺ σαυ- τόν; σὺ γὰρ μόνος Θεὸς παντοκράτωρ, ὑπερύμνητος, ὑπερδεδοξα- σμένος ἢ ὑπερυψούμενος, ἢ ὑπερύψιστος, ἢ ὑπερύσιος ἐν τοῖς ἁγιω- τάτοις, ἢ θειοτάτοις ὀνομάζῃ λογίοις. ὅτι ὑπὲρ πᾶσαν οὐσίαν νοη- τὴν. ἢ

ά. Τιμ. ϛ'. 15.

Ἐξδ. λγ'. Ἰω. ά.

Ματθ. ιά. 27.

Ψαλμ. ρμγ'. 5.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν, ἢ νοερὰν, ἢ αἰσθητὴν, ἢ ὑπὲρ πᾶν ὄνομα ὀνομαζόμενον. ὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ ἢ ἐν τῷ μέλλοντι ὑπερουσίως, ἢ ὑπὲρ νόησιν ὑπάρχων γινώσκη. ὅτι τῇ ὑπερουσίῳ, ἢ κρυφίᾳ θεότητι, ὑπὲρ πᾶντα λόγον, νῶν, ὐσίαν, ἀπροσίτως, ἢ ἀνεξερευνήτως ἐν σεαυτῷ κατοικεῖς. ὅπου φῶς ἀπρόσιτον, ἢ φῶς ἀνεξερεύνητον, ἢ ἀκατάληπτον, ἢ ἀμετάβλητον. ὃ φῶς ὐδὲν ἐφικνεῖται. ὅτι ἀθεώρητον, ἢ ἀόρατον, ἢ ὑπὲρ λόγον, ἢ ὑπὲρ νόησιν, ἢ ὑπεραπρόσιτον, ἢ ὑπεραμετάβλητον, ἢ ὑπερακινώνητον ἐκεῖνο πιστεύεται. ὅπερ ὐδεὶς ὐδέποτε ἀνθρώπων, ἢ ἀγγέλων εἶδεν, ἢ δύναται ἰδεῖν. ὅτός ἐστιν ὁ οὐρανός σε Κύριε· οὐρανὸς κρύπτων τὸ ὑπεράρχιον, ἢ ὑπὲρ νόησιν, ἢ ὑπὲρ λόγον, ἢ ὑπερούσιον φῶς. περὶ ὃ λέγεται „ ὁ οὐρανὸς τῷ οὐρανῷ. Ψαλμ. ριγ'. 25. „ ὧ ἡ γῆ πᾶσά ἐστιν οὐρανὸς, ὅτι ὑπερθαυμασῶς ὑπὲρ πᾶντα οὐρανὸν ἐξήρηται. πρὸς ὃ γῆ ἐστὶ ἢ αὐτὸς ὁ ἐμπύριος οὐρανὸς (7) τετείνει ὁ οὐ- Ἰωάν. „ ρανὸς τῷ οὐρανῷ τῷ Κυρίῳ, ὅτι ὐδενὶ ἄλλῳ, ἢ τῷ Κυρίῳ. εἰς ὃν οὐ- γ'. 13. „ δεὶς ἀναβέβηκεν. ὅτι μηδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, ἢ τὸ Πνεῦμα αὐτῶν· ἢ ὐδεὶς ἔγνω τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ ἢ τὸ Πνεῦμα αὐτῶν, μόνη δὲ σαυτῇ, ὦ μόνη Τριὰς, τελείως εἶ γνωστή. Τριὰς ἁγία, ὑπεράριθμε· ὑπεραδιήγητε· ὑπερανεξερεύνητε· ὑπεραπρόσιτε· ὑπερακατάληπτε· ὑπερούσιε, ἢ ὑπερουσίως ὑπερέχουσα πάντα νῶν· πᾶντα λόγον, πᾶσαν διάνοιαν, πᾶσαν νόησιν· πᾶσαν ὐσίαν τῶν ὑπερουρανίων νόων, ἣν ὅτε νοεῖν· ὅτε λογίζεσθαι, ὅτε λέγειν· ὅτε γινώσκειν δυνατὸν, ἢ αὐτοῖς τοῖς τῶν ἀγγέλων ὀφθαλμοῖς· πόθεν τοίνυν σε ἔγνων Κύριε ὁ Θεὸς ὁ ὕψιστος, ὁ ὑπὲρ πᾶντα οὐρανόν; ὃν ὅτε τὰ Χερουβὶμ τελείως γινώσκει, ὅτε τὰ Σεραφίμ. ἀλλὰ τοῖς πτέρυξι τῶν ἰδίων θεωριῶν καλύπτονται τὰ πρόσωπα ἀπὸ τῆς αἴγλης τοῦ καθημένου ἐπὶ θρόνου ὑψηλοῦ ἢ ἐπηρμένου, βοῶντά ἢ λέγοντα „ ἅγιος· ἅγιος· ἅγιος Κύριος ὁ Θεὸς τῶν δυνάμεων, πλήρης πᾶ- Ἡσαΐ. ς'. 3. σα ἡ

(7) Ἐμπύριος, ἢ ἐμπύριονος οὐρανὸς, κατά τινας Θεολόγους, ἐστιν ὁ πρῶτος οὐρανὸς, ἐν ᾧ ἡ κατοικία τῶν Ἀγγέλων, ἢ μακαρίων εἶναι νομίζεται. Περὶ τούτου τοῦ οὐρανοῦ λαλῶν ὁ Θεοφόρος Κάλλιστος „ Αἶνει, φησὶ, ψυχήμου τὸν Κύριον· ἐκ τοῦ πρώτου οὐρανοῦ, φῶς τὴν ὐσίαν ἔχοντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„σα ἡ γῆ τῆς δόξης αὐτῦ. καὶ ὁ προφήτης δὲ ἐξεπλάγη καὶ εἶπεν. ὦ
„τάλας ἐγὼ, ὅτι ἐσίγησα (8) ὅτι ἀνὴρ ἀκάθαρτος τοῖς χείλεσιν ἐγώ
„εἰμι. Πλὴν Κύριε, καὶ τοῖς σιγῶσι τὰ περὶ σῦ. καὶ γὰρ καὶ οἱ λα-
λοῦντες, κωφοὶ γίνονται χωρὶς σῦ· καὶγὼ δ' σιγήσομαι, ὅτι ἐποίησάς
με, καὶ ἐφώτισάς με, καὶ εὗρές με, καὶ ἔγνως με. καὶ εὗρόν σε, καὶ ἔγνων
σε. ὅτι ἐφώτισάς με. ἀλλὰ πῶς σε ἔγνων; ἔγνων σε ἐν σοί· ἔγνων σε
ἐχ' ὡς σαυτῷ εἶ, ἀλλ' ὥσπερ ἐμοὶ εἶ. εἰ καὶ μὴ χωρὶς σῦ, ἀλλ' ἐν
σοί· ὅτι σὺ εἶ τὸ φῶς τὸ φωτίσαν με. ὥστερ σὺ εἶ, μόνῳ σαυτῷ εἶ
γνωστός. ἀλλ' ὥσπερ ἐμοὶ εἶ, κατὰ τὴν σὴν χάριν ἔγνωσαν καὶ ἐμοί.
ἀλλὰ τί ἐμοὶ εἶ; εἰπὲ ἐλεήμων τῷ ταλαιπώρῳ; εἰπέ μοι διὰ τῶν οἰ-
„κτιρμῶν σε, τί ἐμοὶ εἶ; εἰπὲ τῇ ψυχῇ με. σωτηρία σε εἰμὶ ἐγώ. ψαλμ.
„μὴ ἀποκρύψῃς ἀπ' ἐμῦ τὸ πρόσωπόν σε· ἵνα μὴ ἀποθάνω, καὶ ἐ μὴ λδ'. 3.
ἴδω αὐτό. ἔασόν με πρὸς τὴν σὴν διαλέγεσθαι ἀγαθότητα, ὅτι τὸ ἔ-
λεός σε μέγα ἐπ' ἐμὲ „λαλήσω πρὸς τὸν Κύριόν με γῆ καὶ σποδὸς ὤν. Γω.
εἰπέ μοι τῷ λάτρει σε. εἰπὲ ἐλεήμων τῷ ταλαιπώρῳ· εἰπὲ διὰ τῶν ιή. 27.
οἰκτιρμῶν σε· τί ἐμοὶ εἶ; καὶ ἐβρόντησας ὑπέρθεε ἐν φωνῇ μεγάλῃ
εἰς τὸ ἔνδον ὗς τῆς καρδίας με, καὶ ἀπήλασας τὴν κωφότητά με.
„καὶ ἤκουσα τῆς φωνῆς σε, καὶ ἔγνων, ὅτι Θεός με εἶ σύ· ἔγνων σε μό- Ἰωαν.
„νον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησῦν Χριστόν. ἦν καιρὸς ὅτε ιζ'. 3.
σε ἐκ ἐγίνωσκον. φεῦ τῆς τυφλότητος ἐκείνης, ὅτε ἐχ' ἑώρων σε! καὶ
τῇ κωφότητι ἐκείνῃ, ὅτε ἐκ ἤκουόν σε! κωφὸς, καὶ τυφλὸς ὤν, εἰς ἃ
ἐποίησας εἴδη ὁ ἀνείδεος ἐνέπιπτον. μετ' ἐμῦ ἦσθα, καὶγὼ μετὰ σῦ
ἐκ ἦν. καὶκεῖνα πόρρω σε ἀφεῖλκον, ἅπερ ἐκ ἂν ἦσαν μὴ ἐν σοὶ ὄν-
τα. ἐφώτισάς με. ὦ φῶς, καὶ εἶδόν σε καὶ ἠγάπησά σε. ἐδεὶς γάρ σε
ἀγαπᾷ, εἰ μὴ ὁ ἑωρακώς σε. καὶ ἐδεὶς σε ὁρᾷ, εἰ μὴ ὁ ἀγαπῶν σε. ὀψέ

 σε ἠ-

(8) Οὐχ ἕτω κεῖται τὸ ῥητὸν παρὰ τῷ Ἡσαΐᾳ. ἀλλ' ἕτως, ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι. Οἶμαι δὲ τὸν Θεῖον Αὐγκέντιον ἕτως ἐναλλάξαι τὸ ῥητὸν, τὸ αἰτιατὸν ἀντὶ τῦ αἰτίου ἐκλαβόντα. ἐπειδὴ ἡ κατανυξις αἴτιόν ἐστι σωτηρίας. Διάτοι τῦτο καὶ ὁ Προφήτης Δαβίδ. τἐναντίον τὸ αἴτιον ἀντὶ τῦ αἰτιατῦ ἐκλαμβάνων, εἶπεν, ὅπως ἂν ψάλῃ σοι ἡ δόξα με, καὶ ἐμὴ κατανυγῶ (ψλ. κθ'. 15.) εἶτ' ἔν. ἐμὴ σιγήσω, καθ' ἃ τὶς ἡρμήνευσε τῶν ἑρμηνευτῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε ἠγάπησα. κάλλος ἔτως ἀρχαῖον. ὀψέ σε ἠγάπησα. Φεῦ τῦ χρόνυ ἐκείνυ, ὅτε σε ἐκ ἠγάπων.

Εὐχὴ ΛΒ'. Περὶ τῆς γνώσεως τῆς τῦ Θεῦ ἀληθείας.

ΕΥχαριστῶ σοι Φῶς ἐμὸν τὸ Φωτίζον με· ἵνα γνῶ σε. ποῖόν σε ἔγνων; ἔγνων σε Θεὸν μόνον ζῶντα ἀληθινὸν, ἐμὸν ποιητήν· ἔγνων σε δημιεργὸν ἐρανῦ ἢ γῆς, ὁρατῶν τε πάντων, ἢ ἀοράτων. Θεὸν ζῶντα ἀληθινόν. παντοδύναμον. ἀθάνατον. ἀόρατον. ἀπερίγραπτον. ἀόριστον. ἀΐδιον. ἀπρόσιτον. ἀπερίληπτον. ἀνεξιχνίαστον. ἀμετάβλητον. ἀμέτρητον. ἄπειρον. ἀρχὴν πάντων ὁρατῶν τε ἢ ἀοράτων κτισμάτων, δι' ἓ τὰ πάντα ἐγένετο· δι' ἓ πάντα τὰ στοιχεῖα ὑπέστησαν. ἓ ἡ μεγαλειότης ὥσπερ ἐδέποτε ἀρχὴν ἔσχεν, ἔτως ἐδ' εἰς τὸν αἰῶνά ποτε παύσεται. Ἔγνων σε ἕνα μόνον ἀληθινὸν Θεὸν ἀΐδιον, τὸν Πατέρα, τὸν Υἱὸν, ἢ τὸ ἅγιον Πνεῦμα, ἐν τρισὶ μὲν προσώποις, μιᾷ δὲ ἐσίᾳ. ἀδιαίρετον παντάπασιν· ἁπλῶν. Πατέρα μὲν, ἐξ ἐδενὸς γεννηθέντα. Υἱὸν δὲ ἐκ μόνυ τῦ Πατρὸς, ἢ Πνεῦμα ἅγιον ἐπίσης ἐκ τῦ Πατρὸς, ἀνάρχως τε ἢ ἀτελευτήτως. Θεὸν Τριαδικόν τε ἢ ἕνα, μόνον ἀληθινὸν Θεὸν παντοδύναμον. μίαν ἀρχὴν πάντων, ὁρατῶν τε ἢ ἀοράτων, σωματικῶν τε ἢ ἀσωμάτων. τῇ σῇ γὰρ παντοδυνάμῳ δυνάμει ἐξ αὐτῆς ἀρχῆς τῦ χρόνυ, ἐκ τῦ μηδενὸς ἑκατέραν ἐδημιέργησας Φύσιν, τήν τε σωματικήν, ἢ τὴν ἀσώματον, ἀγγελικὴν δηλονότι, ἢ κοσμικήν. ἐφεξῆς δὲ ἢ τὴν ἀνθρωπίνην ὥσπερ κοινὴν ἐκ ψυχῆς, ἢ σώματος συνεστῶσαν. ἔγνων ἢ ὁμολογῶ σὲ τὸν Θεὸν ἢ Πατέρα, ἀγέννητον. σὲ τὸν Υἱὸν, μονογενῆ· σὲ τὸ Πνεῦμα τὸ ἅγιον, τὸν παράκλητον δηλονότι, ἔτε γεννητὸν, ἔτ' ἀγέννητον. ἀδιαίρετον ἢ ἁγίαν Τριάδα, ἐν τρισὶν ἴσοις προσώποις, ὁμουσίοις τε ἢ συναιδίοις. Ρωμ. ι. 10. » Τριάδα ἐν μονάδι. μονάδα ἐν Τριάδι. καρδίᾳ μὲν εἰς δικαιοσύνην » πιστεύων· στόματι δὲ εἰς σωτηρίαν ὁμολογῶν. ἔγνων σε τὸν Κύριον ἡμῶν Ἰησῦν Χριστὸν, μονογενῆ τῦ Θεῦ Υἱὸν, δημιεργὸν ἐμὸν, ἢ λυτρωτὴν, ἢ σωτῆρα, ἢ παντὸς τῦ ἀνθρωπίνυ γένους, ἐκ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Θεὸν ἐκ Θεῦ. Φῶς ἐκ Φωτός. Θεὸν ἀληθινὸν ἐκ Θεῦ ἀληθινῦ. ᾧ ποιηθέντα, ἀλλὰ γεννηθέντα. ὁ-

μοούσι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μούσιον τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι. δι' οὗ πάντα ἐγένετο ἐξ ἀρχῆς. ἔτι βεβαίως πιστεύω, καὶ ἀληθῶς ὁμολογῶ, σὲ τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν Ἰησοῦν Χριστὸν, διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν κοινῶς, ἐξ ὅλης τῆς Τριάδος (9) καὶ Μαρίας τὴς ἀειπαρθένου σαρκωθῆναι, καὶ συλληφθῆναι τῇ τοῦ ἁγίου Πνεύματος συνεργίᾳ. ἀληθῆ τε ἄνθρωπον γεγονέναι, ἐκ ψυχῆς λογικῆς, καὶ ἀνθρωπίνης σαρκὸς ὑποστάντα. ὃς κατὰ μὲν τὴν θεότητα, μονογενὴς τοῦ Θεοῦ, ἀπαθὴς εἶ. ὁμοίως δὲ καὶ ἀθάνατος. διὰ δὲ τὴν ὑπερβάλλουσαν ἀγάπην, ἣν τοὺς ἀνθρώπους ἠγάπησας ὁ αὐτὸς Υἱὸς κατὰ τὴν ἀνθρωπότητα, θνητὸς ἐγένου καὶ παθητός· ἀλλὰ διὰ τὴν τοῦ ἀνθρωπίνου γένους σωτηρίαν μονογενὴς Υἱὲ τοῦ Θεοῦ, καὶ παθεῖν ἠξίωσας ἐν τῷ τοῦ σαυροῦ ξύλῳ πάθος, καὶ θάνατον, ὥστε ἡμᾶς τοῦ αἰωνίου θανάτου λυτρώσασθαι. εἰς τὸν ᾅδην τε καταλθὼν χορηγὲ τοῦ Φωτὸς, πρὸς τοὺς ἐκεῖ καθημένους ἡμετέρους προπάτορας. ἔνδοξος νικητὴς ἐκ τῶν νεκρῶν ἀνέστης τῇ τρίτῃ ἡμέρᾳ, τὸ ἱερὸν σῶμα ἀναλαβὼν, ὅπερ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων τεθὲν ἐν τῷ μνήματι, κατὰ τὰς γραφὰς, τῇ τρίτῃ ἡμέρᾳ ἐζωοποίησας, καὶ τῇ τοῦ Πατρὸς δεξιᾷ συνεκάθισας. ἀναλαβὼν γὰρ ἐκ τῶν καταχθονίων αἰχμαλωσίαν, ἣν ὁ ἀρχαῖος τοῦ ἀνθρωπίνου γένους ἐχθρὸς ἠχμαλώτευσεν, ἀληθινὲ τοῦ Θεοῦ Υἱὲ, ἀνέβης ὑπεράνω τῶν οὐρανῶν, σὺν τῇ οὐσίᾳ τῆς ἡμετέρας σαρκὸς, τοῦτέστι μετὰ ψυχῆς, καὶ σαρκὸς ἀνθρωπίνης, ἣν ἀνέλαβες ἐκ τῆς μακαρίας παρθένου, πάσας ὑπεραναβὰς τῶν ἀγγέλων τὰς τάξεις. ἔνθα κάθῃ ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ Πατρὸς, ὅπου ἡ πηγὴ τῆς ζωῆς, καὶ τὸ ἀπρόσιτον Φῶς, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ πάντα νοῦν ὑπερέχουσα. ἔνθα σὲ προσκυνοῦμεν Θεὸν ἀνυθῆ, καὶ ἄνθρωπον Ἰησοῦν Χριστὸν, ὁμολογοῦντές σε Πατέρα ἔχειν τὸν Θεόν. ἐκεῖ

---

(9) Ἡ ἐξ Πρόθεσις ἐνταῦθα ὐ συνωνύμως λαμβάνεται, ἀλλὰ ἐμφατικῶς. ἐπὶ μὲν γὰρ τῆς ἀειπαρθένου, τὸ ὑλικὸν δηλοῖ αἴτιον, ὅτι ἐκ τῶν παναχράντων αὐτῆς αἱμάτων σάρκα ἐν ἑαυτῷ ὁ Θεὸς λόγος ὑποστήσας, προσέλαβεν. Ἐπὶ δὲ τῆς ἁγίας Τριάδος, τὸ ποιητικὸν δηλοῖ αἴτιον. ὅλη γὰρ ἡ ἁγία Τριὰς ποιητικὸν αἴτιον τῆς ἐνσαρκώσεως γέγονε. Πατρὸς μὲν εὐδοκησάντος, Υἱοῦ δὲ αὐτουργοῦντος, τοῦ δὲ ἁγίου Πνεύματος συνεργοῦντος.

ἐκεῖθεν ἥξοντα προσδοκῶμεν ἐπὶ τέλει τῶν αἰώνων. κριτὴν κρινοῦντα ζῶντας, καὶ νεκρούς, καὶ ἀποδώσοντα πᾶσιν ἀγαθοῖς τε καὶ πονηροῖς κατὰ τὰ ἔργα αὐτῶν, ἅπερ ἔπραξαν ἐν τῇ παρούσῃ ζωῇ ἢ ἀμοιβὰς, ἢ τιμωρίας, καθόσον ἕκαστος ἀναπαύσεως, ἢ καταδίκης ἐγένετο ἄξιος. ἀναστήσονται γὰρ πάντες ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπὸ φωνῆς τῆς δυνάμεώς σε, ὅσοι ψυχὴν ἔλαβον ἀνθρωπίνην ἐν τῇ ἰδίᾳ σαρκὶ, ἣν ἔλαβον ἐνταῦθα. ἐν ᾗ πᾶς ἄνθρωπος, ἢ δόξαν, ἢ γεωναν δέξεται. σὺ δὲ αὐτὸς εἶ ἡ ἡμετέρα ζωὴ καὶ ἀνάστασις. „ὃν καὶ σωτῆρα ἀπεκδεχόμεθα „Κύριον Ἰησοῦν Χριστόν. ὃς μετασχηματίσεις τὸ σῶμα τῆς ταπεινώσε„ως ἡμῶν, εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς σῆς δοξης. Φιλιπ. γ'. 21.

Ἔγνωσε Θεὸν ἀληθινὸν καὶ ἕνα, τὸ ἅγιον τοῦ Πατρὸς, καὶ Υἱοῦ Πνεῦμα, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. ὁμοούσιον, καὶ συναΐδιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ. παράκλητον ἡμέτερον, καὶ συνήγορον. τὸ ἐπ αὐτὸν τὸν Θεὸν, καὶ Κύριον Ἰησοῦν Χριστὸν, ἐν εἴδει περιστερᾶς κατελθὸν. καὶ τοῖς Ἀποστόλοις ἐν πυρίνοις γλώσσαις ἐπιφανὲν. τὸ πάντας τοὺς ἁγίους καὶ ἐκλεκτοὺς τοῦ Θεοῦ, ἐξαρχῆς τῷ τῆς σῆς χάριτος δώρῳ διδάσκον. τὸ τὰ τῶν Προφητῶν σώματα διανοῖγον τοῦ διηγεῖσθαι τὰ τῆς σῆς βασιλείας μυστήρια. ὃ σὺν Πατρὶ, καὶ Υἱῷ προσήκει συμπροσκυνεῖσθαι, καὶ συνδοξάζεσθαι ὑπὸ πάντων ἁγίων τοῦ Θεοῦ, ἐν οἷς κἀγὼ ὁ Υἱὸς τῆς παιδίσκης σου, ὅλῃ μου τῇ καρδίᾳ δοξάζω τὸ ὄνομα σου, ὅτι ἐφώτισάς με. σὺ γὰρ εἶ τὸ φῶς τὸ ἀληθινὸν, τὸ θεῖον πῦρ, ὁ τῶν ἁγίων πνευμάτων διδάσκαλος. τὸ πᾶσαν ἡμᾶς τῷ σῷ χρισμάτι διδάσκον ἀλήθειαν. τὸ Πνεῦμα τῆς ἀληθείας. ὃ χωρὶς ἀρέσαι Θεῷ ἀδύνατον. ὅτι Θεὸς εἶ ἐκ Θεοῦ, ἐκ τοῦ πατρὸς τῶν φώτων ἀῤῥήτως ἐκπορευόμενον, καὶ διὰ τοῦ Υἱοῦ αὐτοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χορηγούμενον. οἷς ἴσον, καὶ ὁμοούσιον, καὶ συναΐδιον ὄν, ἐν μιᾷ Τριάδος οὐσίᾳ, ὑπερουσίως συμβασιλεύεις καὶ συνδοξάζῃ. Ἔγνωσε ἕνα Θεὸν ἀληθινὸν, τὸν Πατέρα, τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα. τρία μὲν τοῖς προσώποις, ἕν δὲ τῇ οὐσίᾳ. ὃν ὁμολογῶ. προσκυνῶ. καὶ δοξάζω ὅλῃ μου τῇ καρδίᾳ. Θεὸν ἀληθινὸν· μόνον· ἅγιον· ἀθάνατον· ἀόρατον· ἀμετάβλητον ἀπρόσιτον· ἀνεξερεύνητον· ἐν φῶς· ἕνα ἥλιον ἕνα ἄρτον· μίαν ζωὴν· ἓν ἀγαθὸν· μίαν ἀρχὴν· ἓν τέλος· δημιουργὸν οὐρανοῦ, καὶ γῆς·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' ὃ πάντα ζῶσι. δι' ὃ ὑφεσήκασι· δι' ὃ κυβερνῶνται· διοικοῦνται· ζωοποιοῦνται τὰ ἐν ἐρανῷ, τὰ ἐπὶ τῆς γῆς, τὰ ὑπὸ τὴν γῆν· ὃ πλὴν, οὐκ ἔστι Θεὸς ἐν ἐρανῷ, ἢ ἐπὶ γῆς. οὕτω σε ἔγνων τὸν γινώσκοντά με. ἔγνων σε διὰ τῆς εἰς σὲ πίστεως, ἣν μοι ἐνέπνευσας. Φῶς ἐμόν· Φῶς τῶν ἐμῶν ὀφθαλμῶν. Κύριε ὁ Θεός μου, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς. χαρὰ εὐφραίνουσα τὴν νεότητά μου, ἡ ἀγαθὸν ὑπερεῖδον τὸ γῆράς μου. ἐπὶ σοὶ Κύριε τὰ ὁσά μου ἀγαλλιῶνται, λέγοντα· Κύριε Κύριε τίς ὅμοιός σοι; τίς ὅμοιός σοι ἐν Θεοῖς Κύριε; οὐχ' ὃν ψ.λδ'.πέ
» ἀνθρώπων χεῖρες ἐποίησαν· ἀλλ' ὡς τὰς τῶν ἀνθρώπων χεῖρας ἐ-
» ποίησας. » τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον ἡ χρυσίον, ἔργα χειρῶν ψ. ριγ'.
» ἀνθρώπων. ἀλλ' οὐχ' ὕτως ὁ τῶν ἀνθρώπων δημιουργὸς· πάντες οἱ
» Θεοὶ τῶν ἐθνῶν δαιμόνια. ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν· αὐτὸς ψ. μέ.
» ἐστι Κύριος ἡμῶν. Θεοὶ, οἳ τὸν οὐρανὸν ἡ τὴν γῆν οὐκ ἐποίησαν, ἀπο- Ἱερ. ί.
» λέσθωσαν ἐκ τῆ οὐρανῆ, ἡ τῆς γῆς. τὸν τῆ οὐρανῆ ἡ τῆς γῆς δημι-
ουργὸν εὐλογησάτω ὁ οὐρανὸς, ἡ ἡ γῆ. » τίς ὅμοιός σοι ἐν Θεοῖς Κύ- ψαλ.
» ριε, τίς ὅμοιός σοι; μέγας ἐν ἁγιωσύνῃ· φοβερὸς ἐνδόξως ποιῶν τέ- πε. 7.
ρατα. ὀψέ σε τὸ ἀληθινὸν ἔγνων φῶς, ὀψέ σε ἔγνων· ἦν δὲ νεφέλη μεγάλη ἡ σκοτεινὴ πρὸ τῶν ὀφθαλμῶν τῆς ἐμῆς ματαιότητος. ὥ-
σε μὴ δύνασθαι βλέπειν με τὸ τῆς ἀληθείας φῶς, ἡ τὸν τῆς δικαιο-
σύνης ἥλιον. ἐνεκαλινδέμην τῷ σκότει, ὁ τῆ σκότους υἱός. τὸ σκότος ἠγάπων. ὅτι τὸ φῶς οὐκ ἐγίνωσκον. τυφλὸς ἦν, ἡ τῆς τυφλότητος ἤρων ἡ πρὸς τὸ σκότος διὰ τῆ σκότους ἐπορευόμην. τίς με ἐξήγαγε; τίς ὁ ἐμὲ φωτίσας; ἐγὼ τῆτον οὐκ ἐζήτουν. ἀλλ' αὐτὸς ἐζήτησέ με. οὐκ ἐπεκαλούμην αὐτὸν, ἀλλ' αὐτὸς ἐκάλεσέ με. τίς ἐστιν οὗτος; αὐτὸς
» Κύριος ὁ Θεός μου, ὁ ἐλεήμων ἡ οἰκτίρμων ὁ Πατὴρ τῶν οἰκτιρμῶν, Β' Κορ.
» ἡ Θεὸς πάσης παρακλήσεως. σὺ Κυριε ὁ Θεός μου, ὃν ὅλῃ καρδίᾳ ί. 3.
μου ὁμολογῶ. εὐχαριστῶ τῷ ὀνόματί σου. οὐκ ἐζήτουν σε ἀλλ' αὐτὸς ἐ-
ζήτησάς με. οὐκ ἐπεκαλούμην σε ἀλλ' αὐτὸς ἐκάλεσάς με τῷ ὀνόματί
σου. ἐβρόντισας ἄνωθεν φωνῇ μεγάλῃ εἰς τὴν ἔνδον ἀκοὴν τῆς ἐμῆς
καρδίας. » γοννηθήτω φῶς· ἡ ἐγένετο φῶς. ὑπεχώρησεν ἡ μεγάλη Γω.
νεφέλη ἡ τὸ σκοτεινὸν νέφος ἐτάκη, τὸ καλύπτον τοὺς ἐμοὺς ὀφθαλ- γ'. 3.
μοὺς, ἡ εἶδον τὸ φῶς σου, ἡ τὴν φωνήν σου ἐπέγνων ἡ εἶπον. ἀλη-
θῶς

Θῶς Κύριε σὺ εἶ Θεὸς, ἡ ἐξήγαγες με ἐκ σκότους ἡ σκιᾶς θανάτου, ἡ εἰς τὸ θαυμαστόν σου Φῶς κέκληκάς με. ἡ ἰδοὺ βλέπω. χάρις σοι Θεέ μου· ἰδοὺ γὰρ ὁρῶ· χάρις σοι τῷ Φωτίσαντί με. ἐπεσράφην, ἡ εἶδον μου τὸ σκότος, ἐν ᾧ ἦν, ἡ τὴν σκοτεινὴν ἄβυσσον, ἐν ᾗ κατεκείμην. ἐτρόμαξα, ἡ ἐξεπλάγην, ἡ εἶπον. βαβαὶ βαβαί! εἰς οἷον ἐνέπεσα σκότος. βαβαὶ τῆς τυφλότητος ἐκείνης, ἐν ᾗ τὸ τοῦ ἐρανοῦ Φῶς βλέπειν οὐκ ἠδυνάμην! Φεῦ τῆς παρελθούσης ἀγνοίας, ὅτε σε οὐκ ἐγίνωσκον Κύριε! χάρις σοι τῷ ἐλευθερώσαντί με, ὅτι ἐφώτισάς με, ἡ ἔγνων σε. ὀψέ σε ἔγνων τὴν ἀρχαίαν ἀλήθειαν. σὺ ἐν Φωτὶ ᾖσθα, ἐγὼ δὲ ἐν σκότει, ἡ οὐκ ἐγίνωσκόν σε, ὅτι χωρὶς σοῦ, ἀδύνατον ἦν μοι Φωτισθῆναι. σὺ γάρ ἐσι Φῶς ἐκτός σου.

Εὐχὴ ΛΓ΄ Περὶ τοῦ θείου Φωτός.

Θεὲ Θεῶν ἅγιε ἁγίων, ὃ ὑπὲρ ἔννοιαν ἡ μεγαλειότης. Θεὲ Θεῶν, ἡ Κύριε κυρίων, θαυμαστὲ ἀνεννόητε. ὃν τρέμουσιν αἱ τῶν ἀγγέλων δυνάμεις ἐν οὐρανῷ. ὃν θρόνοι, ἡ κυριότητες προσκυνοῦσι. ἡ ἀπὸ τοῦ σοῦ προσώπου πᾶσαι αἱ δυνάμεις ἐκπλήττονται. ὁ πήξας τὸν κόσμον ἐπ' ὕδατος, ἡ ὡς ὁ ἀσκῶ τῷ ἀέρι συνάγων τὴν θάλασσαν. παντοδύναμε, κραταιὲ Θεὲ τῶν πνευμάτων, ἡ πάσης σαρκὸς, ὃ ἀπὸ προσώπου Φεύγει ὁ οὐρανὸς ἡ ἡ γῆ. ἡ ᾧ τῷ νεύματι πάντα ὑποπίπτει τὰ στοιχεῖα. σὲ προσκυνεῖ ἡ δοξάζει πάντα τὰ κτίσματα. καὶ γὼ ὁ ὑὸς τῆς παιδίσκης σου, τῇ εἰς σὲ πίσει, κάμπτω τὸν τῆς ἐμῆς καρδίας αὐχένα, ὑπὸ τὰς τῆς σῆς μεγαλειότητος πόδας. εὐχαριστῶ σοι, ὅτι φωτίσαι με τῷ ἐλέει σου κατηξίωσας, Φῶς ἀληθινόν. Φῶς ἅγιον. Φῶς θαυμαστόν. Φῶς ὑπερύμνητον. τὸ φωτίζον τὰς ὀφθαλμὰς τῶν ἀγγέλων. ἰδοὺ βλέπω. εὐχαριστῶ σοι. ἰδοὺ τὸ τοῦ ἐρανοῦ Φῶς ὁρῶ. ἄνωθεν ἐλλάμπει τοῖς ὀφθαλμοῖς τῆς ἐμῆς διανοίας, ἀκτὶς ἀπὸ τοῦ Φωτὸς τοῦ προσώπου σου, εὐφραίνουσα πάντα τὰ ὅσά μου. αὔξησον τοῦτο δέομαι τὸ ἐν ἐμοὶ λάμπον Φῶς. πλάτυνον τοῦτο δέομαι πλάτυνον. τί τὸ τὴν ἐμὴν καρδίαν θερμαῖνον πῦρ; τί τοῦτο, ὃπερ αἰσθάνομαι; τί τὸ Φῶς, τὸ τὴν ἐμὴν ἀκτινοβολοῦν καρδίαν; ὦ Φῶς ἀεὶ καιόν, ἡ μὴ σβεννύμενον, Φώτισόν με. ὄφελον ἀναφθείην ἐκ σοῦ, πῦρ

Ἀριθμ. κγ'. 16.

πῦρ ἅγιον, πῶς μετὰ γλυκύτητος φλέγεις; πῶς ἀῤῥήτως λάμπεις; πῶς ἐπιθυμητῶς ἐμπιμπρᾷς; καὶ τοῖς μὴ ἀναπτομένοις ἐκ σοῦ. καὶ τοῖς μὴ φωτιζομένοις ἐκ σοῦ. ὦ φῶς ἀληθινόν, φωτίζον πάντα τὸν κόσμον. ὃ τὸ φῶς τὸν κόσμον πληροῖ. καὶ τοῖς τυφλοῖς ὀφθαλμοῖς, τοῖς σὲ μὴ ὁρῶσιν! ἥλιε ὁ τὸν ἐρανὸν, καὶ τὴν γῆν φωτίζων. καὶ τοῖς ὀμιχλώδεσιν ὀφθαλμοῖς, τοῖς σὲ μὴ δυναμένοις ὁραν! καὶ τοῖς τὰς ὀφθαλμὰς ἀποσκέφεσι τοῦ μὴ ἰδεῖν τὴν ἀλήθειαν! καὶ τοῖς μὴ ἀποσκέφεσι τοῦ μὴ ἰδεῖν ματαιότητα. οἱ γὰρ τῷ σκότει συνεθισθέντες ὀφθαλμοὶ, τὰς τῆς σῆς ἄκρας ἀληθείας ἀκτῖνας ἀδυνατοῦσιν ὁρᾶν, ὅτ' ἐπίσανται λογίζεσθαί τι περὶ φωτός. οἷς ἐν σκότει ἐστὶν ἡ κατοικία. σκότος ὁρῶσι. σκότος ἀγαπῶσι. τῷ σκότει συντίθενται. ἐκ σκότους εἰς σκότος πορευόμενοι, οὐκ ἴσασι ποῦ καταπίπτουσιν. ἄθλιοι, εἰ ἐκ ἴσασιν ὃ ζημιοῦνται. ἀθλιώτεροι, εἰ καὶ ἴσασι, καὶ πίπτουσιν ἀνεωγμένοις ὀφθαλμοῖς, καὶ ζῶντες καταβαίνουσιν εἰς τὸν ᾅδην. ὦ καθαρτικώτατον φῶς, ὑπὸ μόνων τῶν καθαρωτάτων ὁρώμενον ὀφθαλμῶν. μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοί σε ὄψονται. Ματθ. ε. 8.
κάθαρον τὰς ἐμὰς δυνάμεις. κάθαρον τὰς ἐμὰς ὀφθαλμάς. ἵνα σε ὑγιαίνουσιν ὀφθαλμοῖς θεωρῶ. οὐ μόνον τοιαῦτα βλέπουσιν ὄψεις, ἄφελε τὰς τοῦ ἀρχαίου σκότους λεπίδας, ταῖς ἀκτῖσι τοῦ σοῦ φωτισμοῦ. ἀπρόσιτον φάος· ἵν' ἀκωλύτοις ὄψεσιν ὁρᾶν σε δυναίμην, καὶ ἴδοιμι φῶς ἐν τῷ φωτί σου. χάρις σοι φῶς ἐμόν. ἴδε γὰρ ὁρῶ. πλάτυνον δεομαι τὴν ἐμὴν ὄψιν. ἀποκάλυψον τὰς ὀφθαλμάς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Θεὸς γὰρ εἶ θαυμαστὸς ἐν τοῖς ἁγίοις σου. χάρις σοι φῶς ἐμόν. ἴδε γὰρ ὁρῶ, ἀλλ' ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι· ἀλλὰ ποτὲ πρόσωπον πρὸς πρόσωπον· ὅτε εὐφροσύνης καὶ ἀγαλλιάσεως ἡμέρα ἥξει, ἐν ᾗ εἰσελεύσομαι εἰς τόπον σκηνώματος. ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἵν' ἴδω τὸν ὁρῶντά με πρόσωπον πρὸς πρόσωπον, καὶ τὴν ἐμὴν ἐπιθυμίαν ἐμπλήσω. α' Κορ. ιγ'. 12.

ΣΤΑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σ Τ Α Σ Ι Σ ΙΑ'.

Εὐχὴ ΛΔ'. Περὶ τῆς ἐπιθυμίας τῆς ψυχῆς, ἢ τῦ εἰς Θεὸν αὐτῆς δίψυς.

Ὁ Ν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων,
ψαλμ. μά. 1. οὕτως ἐπιποθεῖ ἡ ψυχή μυ πρὸς σὲ ὁ Θεός μυ. ἐδίψησεν
„ ἡ ψυχή μυ πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα. πότε
„ ἥξω ἢ ὀφθήσομαι τῷ προσώπῳ τῦ Θεῦ; ὦ πηγὴ τῆς ζωῆς· φλεὼ
τῶν ζώντων ὑδάτων, πότε ἥξω πρὸς τὰ τῆς σῆς γλυκύτητος ὕδα-
τα, ἐκ γῆς ἀβάτυ ἢ ἀνύδρυ· ἵνα ἴδω τὴν ἀλήθειάν συ ἢ τὴν δόξαν
συ, ἢ τὴν ἐμὴν δίψαν ἐκ τῶν τῆς σῆς Φιλανθρωπίας ὑδάτων ἐμ-
αὐτόθ. πλήσω; διψῶ Κύριε, διψῶ σε τὸν ζῶντα Θεόν! „ Κύριε πότε ἥξω
„ ἢ ὀφθήσομαι τῷ προσώπῳ συ; ἆρα ὄψομαι τὴν ἡμέραν ἐκείνην;
ἡμέραν εὐφροσύνης ἢ ἀγαλλιάσεως, ἡμέραν ἣν ἐποίησεν ὁ Κύριος·
ψ. ριϚ'. „ ἵνα ἀγαλλιασώμεθα ἢ εὐφρανθῶμεν ἐν αὐτῇ; ὦ ἡμέρα διαυγεσά-
τη, ἡ ἐκ εἰδύα ἑσπέραν, ἡ μὴ ἔχυσα δύσιν, ἐν ᾗ ἀκύσομαι φωνὴν αἰ-
νέσεως. Φωνὴν ἀγαλλιάσεως ἢ ἐξομολογήσεως, λέγυσαν. „ εἴσελθε
Ματθ. „ εἰς τὴν χαρὰν τῦ Κυρίυ συ· εἴσελθε εἰς τὴν χαρὰν τὴν αἰώνιον,
κέ. 21. εἰς τὸν οἶκον Κυρίυ τῦ Θεῦ συ· ὅπυ εἰσὶ μεγάλα ἢ θαυμασὰ, ἢ ἀ-
νεξερεύνητα· ὧν ἐκ ἔστν ἀριθμός. εἴσελθε εἰς χαρὰν ἄνευ λύπης,
περιέχυσαν ἀγαλλίασιν αἰώνιον· ὅπυ ἐστὶ πᾶν ἀγαθὸν, κακὸν δὲ ἐδόν·
ὅπυ πᾶν ὅπερ ἂν θέλῃς. ὁπυ ζωὴ ζωτικὴ, γλυκεῖα, ἢ ἐφετὴ, ἢ ἀ-
είμνηστος. ὅπυ ἐκ ἔστν ἐχθρὸς πολεμῶν, ἐδε τις ἀηδία, ἀλλ' ἄκρα ἢ
βεβαία ἀσφάλεια. ἀσφάλεια, ἢ ἀσφαλὴς γαλήνη, ἢ ἥσυχος ἡδονή.
ἡδονὴ, ἢ εὐτυχία ἡδεῖα. εὐτυχία, ἢ εὐτυχὴς ἀϊδιότης. ἀϊδιότης,
ἢ ἀϊδία μακαριότης. μακαριότης, ἢ ἡ μακαρία Τριάς. Τριὰς, ἢ τῆς
Τριάδος μονάς. μονὰς, ἢ τῆς μονάδος Θεότης. Θεότης, ἢ μακαρία
τῆς Θεότητος θεωρία. ἥτις ἐστὶν ἡ χαρὰ τῦ Κυρίυ μυ. ὦ εὐφροσύνη
ὑπὲρ εὐφροσύνην, πᾶσαν εὐφροσύνην νικῶσα. ἧς χωρὶς, ἐδεμία ἐστὶν
εὐφροσύνη. πότε εἰσελεύσομαι εἰς σέ· ἵν' ἴδω Κύριον τὸν Θεόν μυ τὸν
Ἐξόδ. „ ἐν σοὶ οἰκῦντα; ἀπελεύσομαι ἢ ὄψομαι τὸ ὅραμα τῦτο τὸ μέγα.
γ. 3.

τί ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τί ἐστι τὸ κωλύον με; οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. οἴμοι, ἕως ἂν μοι λέγηται, πῦ ἐστιν ὁ Θεός σου; μεῖνε, ἀνάμεινε. ἢ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; σωτῆρα γὰρ ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. ἀναμένομεν τὸν Κύριον πότε ἀναλύσει ἀπὸ τῶν γάμων· ἵν' εἰς τοὺς γάμους ἡμᾶς εἰσαγάγῃ. ἐλθὲ Κύριε, μὴ χρονίσῃς. ἐλθὲ Κύριε Ἰησοῦ Χριστέ. ἐλθὲ, ἐπίσκεψαι ἡμᾶς ἐν εἰρήνῃ. ἐλθὲ ἢ ἐξάγαγε τὸν δέσμιον τοῦτον ἐκ τοῦ δεσμωτηρίου, ἵν' ἀγαλλιασώμεθα ἐνώπιόν σου τελείᾳ καρδίᾳ. ἐλθὲ σῶτερ ἡμέτερε, ὁ ἐπιθυμητὸς πᾶσι τοῖς ἔθνεσιν. ἐπίφανον τὸ πρόσωπόν σου, ἢ σωθησόμεθα. ἐλθὲ τὸ Φῶς μου, ὁ ῥύσης με, ἐξάγαγέ με ἐκ Φυλακῆς, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. μέχρι τίνος ὁ ἄθλιος ἐγὼ Φήσομαι ἐν τοῖς κύμασι τῆς θνητότητος ταύτης; κράζων πρὸς σὲ Κύριε, ἢ οὐκ εἰσακούσῃ; ἐπάκουσόν μου κράζοντος ἐκ τῆς μεγάλης ταύτης θαλάσσης, ἢ ἐξάγαγέ με εἰς λιμένα μακαριότητος αἰωνίου. εὐδαίμονες, οἳ τῶν κινδύνων τῆς θαλάσσης ταύτης ἀπαλλαγέντες, πρὸς σὲ Κύριε τὸν ἀσφαλέστατον λιμένα ἠξιώθησαν καταντῆσαι. ὦ ἀληθῶς εὐδαίμονες, οἱ ἐκ τοῦ πελάγους εἰς τὸν αἰγιαλὸν, ἐκ τῆς ὑπερορίας πρὸς τὴν πατρίδα, ἐκ τοῦ δεσμωτηρίου πρὸς τὰ βασίλεια Φθάσαντες! τῆς εὐκτῆς γαλήνης τῇ ἐπιτυχίᾳ ἤδη μακάριοι! τοῦ γὰρ τῆς αἰωνίου δόξης βραβείου, τοῦ διὰ πολλῶν θλίψεων αὐτοῖς ζητηθέντος, μετ' εὐχερεῖς ἡδονῆς ἤδη τυχόντες, εὐφραίνονται ἀϊδίως. ὦ ἀληθῶς μακάριοι, ἢ τρὶς, ἢ πολλάκις μακάριοι! οἳ τὰ κακὰ πάντα ἀποδυσάμενοι, ἢ ἀσφαλῶς ἤδη τὴν ἑαυτῶν ἀμάραντον δόξαν καρπούμενοι, εἰς τὴν τοῦ κάλλους βασιλείαν ἠξιώθησαν καταντῆσαι. ὦ βασιλεία αἰώνιε, βασιλεία πάντων τῶν αἰώνων, ὅπου τὸ μὴ ἐκλεῖπον Φῶς, ἢ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν. ἐν ᾗ αἱ τῶν ἁγίων ψυχαὶ ἀναπαύονται, ἢ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. εὐφροσύνην ἢ ἀγαλλίασιν ἕξουσι, ἢ φεύξεται ἀπ' αὐτῶν ὀδύνη ἢ στεναγμός. ὦ πόσον δεδοξασμένη ἡ βασιλεία! ἐν ᾗ Κύριε συμβασιλεύσουσί σοι πάντες οἱ ἅγιοι, ἐνδεδυμένοι Φῶς ὡσπερ ἱμάτιον. ἔχοντες ἐπὶ τῆς κεφαλῆς στέφανον ἐκ λίθου τιμίου. ὦ βασιλεία τῆς αἰωνίου μακαριότητος! ὅπου σὺ Κύριε ἡ

Ψ. ριβ'.
Ψ. μά.
Ψ. λή.
Φλιπ. γ.
Λευκ. ιθ'.
Ψ. ξθ'.
Ψ. οθ'.
Ψ. ρμά.

